Ἀμφήριστος, ὁ, ἡ· (ἐρίζω) ἑκατέρωθεν ἀμφισβητήσιμος, διάσιαστος, ἀμφίβολος, ἐνδοιάσιμος ἀδιάκριτος, ἀδιάκριτος (ἀμφίβολος, διὰ τὸν ὁποῖον γίνεται φιλονεικία, καὶ ἀπὸ τὰ δύω μέρη· ἀποφάσιστος, ὁ ὁποῖος δὲν ἀποφασίσθηκε, δὲν ξεδιαλύχθηκεν, πῶς ἢ τί πρέπει νὰ εἶναι) »..καί κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν, εἰ μὴ Τυδέος υἱῷ κοτέσσατο Φοῖβος Ἀπόλλων..« Ἰλδ. Ψ, 382. καὶ 527. »εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι, τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.« 2) Ἀντίπαλος, ἴσος, ἰσόμαχος, ἐνάμιλλος, ἐν ἴσῳ ὤν, μὴ εἴκων τῷ ἑτέρῳ, μὴ ἥττων τοῦ ἑτέρου ἐν μάχῃ, ἀγῶνι· ἐξ οὗ τὸ ἀμφίβολον καὶ ἄδηλον τῆς νίκης· (ὅστις εἰς τὸν πόλεμον εἶναι τόσον δυνατὸς καὶ ἐπιτήδειος, καθὼς καὶ ὁ ἐναντίος του, καὶ διὰ τοῦτο εἶναι ἀμφίβολον ποῖος ἀπὸ τοὺς δύω θὰ νικήσῃ). Ἀπ.

Ἀμφί· Πρόθεσις· γενικῇ, δοτ. καὶ αἰτιατικ. συντασσομένη· ὁμοιοσύντακτος καὶ ἰσοδύναμος τῇ Περί, καὶ παρ' Ἴωσι καὶ ποιηταῖς μᾶλλον ἐν χρήσει.

Α) Μετὰ γενικῆς, σημαίνει 1) τὸ περὶ οὗ ὁ λόγος, (τὸ διά τι)· ὡς τὸ ἕνεκα· (διά, γιά)· »ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ, ..μέγα φρονέοντε μάχεσθον, πίδακος ἀμφ' ὀλίγης, ἐθέλουσι δὲ πιέμεν ἄμφω...« Ἰλδ. Π, 825. Παρ' Ἀπολλ. Ῥοδ. 2, 216. τὴν βεβαίωσιν μεθ' ὅρκου ἀντὶ τῆς Πρὸς (μά). »Φοίβου τ' ἀμφὶ καὶ αὐτῆς εἵνεκεν Ἥρης λίσσομαι·« 2) τὸ, πράγματός τινος ἕνεκεν, ὡς ἡ περὶ μετὰ γενκ. Ὀδσ. Θ, 267. »..ἀνεβάλλετο καλὸν ἀείδειν, ἀμφ' Ἄρεος φιλότητος, ἐϋστεφάνου τ' Ἀφροδίτης·« ἄλλως δὲ οὐχ εὕρηται παρ' Ὁμ. μετὰ γενκ. παρὰ Πνδ. δὲ πολλάκις· καὶ Πνδ. Ὀλ. 12, 11. »ἀμφὶ πράξιος ἐσομέναις« καὶ Ἰσθ. 8, 146. »ἀμφὶ πατερατίου« Πθ. 4, 491. »ἀμφὶ Κυράνας« καὶ Νμ. 6. »ἀμφὶ Μεδοίσαι« καὶ παρ' Ἡρδτ. 6, 131. »Ἀμφὶ μὲν κρίσιος τῶν μνηστήρων τοσαῦτα ἐγένετο..« 3) τὸ κύκλῳ (ὁλόγυρα, τριγύρω) ἐπὶ τόπου, καθ' Ὁμηρικὴν χρῆσιν· »ἀμφὶ ταύτης τῆς πόλιος·« καὶ καθ' Ἡρδτ. 8, 104. καὶ Δνσ. περὶ συνθ. σλ. 351. ὑπὸ Schaef.

Β) Μετὰ δοτικῆς· τὸ κύκλῳ· (ὁλόγυρα, τριγύρω) ἐπὶ τόπου· »ἀμφὶ κεφαλῇ, ὤμοις, στήθεσι·« Ἰλδ. Γ. 328. Ζ, 509. Κ, 34. Λ, 527. Ο, 266, 479. Η, 135. Σ, 203, 205, 538. Υ, 372. Β, 388, 544. Ε, 454 Μ, 425. Ἀμφὶ οἱ· (τριγύρω του) »..ἐδ' ἑσπόμενοι πίσυ δουρὶ πρηνής, ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ« Ἰλδ. Μ, 396. καὶ Ι, 466. μοι μετὰ τῆς Ἀμφὶ καὶ τῆς Περὶ ἅμα· »Εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ περὶ νύκτας ἴαυον·« ὡσαύτως καὶ Ὀδσ. Λ, 608. »..σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ χρύσεος ἦν τελαμών..« Πολλάκις τὸ σημαινόμενον τῆς δοτικῆς ἐννοεῖται ὡς τι πανταχόθεν ὅλως περικεκλεισμένον· »..μίστυλλόν τ' ἄρα τἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν·« Ἰλδ. Β, 428. καὶ Ι, 210. (τοῦτ' ἔστι τὰ ἄλλα κρέατα ἐσούβλισαν ἔτζι, ὥστε δὲν 'φαίνονταν ἡ σούβλαις) ἐξ οὗ ἐγεννήθη· 2) ὁ γενικώτερος τόπου διορισμός — ἐν, πρός, παρά — (εἰς, κοντά, ἀνάμεσα, συμά, μαζὺ μέ, κοντὰ εἰς) ὡς ἡ Ἐπί· »..πλῆξεν ἀνασχόμενος κόρυθος φάλον· ἀμφὶ δ' ἄρ' αὐτῷ τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός·« Ἰλδ. Γ, 362. (ἔπεσεν ἀπὸ τὸ χέρι του κοντὰ 'ς αὐτόν)· καὶ Σ, 344. »Ὣς εἰπών, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεύς, ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν..« (νὰ βάλουν εἰς τὴν φωτιὰν τὸν λέβητα, τὸ τουρκοβ. καζάνι)· καὶ Ὀδσ. Λ, 422. »..τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις ἀμφ' ἐμοί« (τὴν ὁποίαν ἐσκότωσε κοντὰ εἰς ἐμένα)· καὶ Ἰλδ. Δ, 493. »..ἤριπε δ' ἀμφ' αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.« (ἔπεσε κοντὰ εἰς αὐτόν)· καὶ Ἰλδ. Ν, 704. »..ἀμφὶ δ' ἄρα σφιν πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·« (ἀνάμεσα εἰς τὴν ῥίζαν ἀπὸ τὰ κέρατα καὶ εἰς τὸ μέτωπον). 3) Πραγματικὴν συνύπαρξιν ἐν τῷ αὐτῷ χρόνῳ — πρός, ὁμοῦ, ἐν τῷ αὐτῷ, ἅμα — (ἐνταυτῷ ὁμοῦ καί, μαζὺ μέ, εἰς τὸν ἴδιον καιρόν)· »..κῆλα δὲ καὶ Δαιμόνων θέλγει φρένας, ἀμφί τε Λατοΐδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν·« (ὁμοῦ καὶ τὴν σοφίαν τῶν Μουσῶν)· Πνδ. Πθ. α', 22. καὶ Νμ. α', 42. »Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ τῶν τε καὶ τῶν χρήσεις« — πρὸς τῷ σῷ τρόπῳ — (μαζὺ μὲ τὰ φρονήματά σου, ἐνταυτῷ θέλει χρειασθῇς) καὶ Νμ. ζ', 118. »Διὸς δὲ μεμιγμένος ἀμφὶ Νεμέᾳ πολύφατον ὕμνων θρόον δονεῖ ἀτυχῇ·« (εἰς τὸν ἴδιον καιρὸν ὁποῦ ψάλλεις διὰ τὴν Νεμέαν ψάλλε καὶ διὰ τὸν Δία). 4) ὡς μετὰ τῆς γενκ. — ἕνεκα, περί — (διά, γιά)· »..αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον συμβάλετ', ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι·« Ἰλδ. Γ, 70. (γιὰ τὴν Ἑλένην νὰ πολεμήσωμεν)· καὶ 157. »Οὐ νέμεσις, Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·« (νὰ κακοπαθαίνουν γιὰ μιὰν τέτοιαν γυναῖκα) παρβλ. καὶ Λ, 672. »..ἀμφὶ βοηλασίῃ« καὶ Μ, 421. »ἀμφ' οὔροισι« καὶ Π, 647. »ἀμφὶ φόνῳ Πατρόκλου« καὶ Ὀδσ. Χ, 227. »..ἀμφ' Ἑλένῃ λευκωλένῳ«: Τὸ εἴς τι, πρός τι, κατά τι· (ὡς πρός· ὅσον διά, ὅσο γιά)· »..ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔτι μεγαίρω·« (ὅσον διὰ τοὺς νεκρούς). Ἰλδ. Η, 408. καὶ Ν, 382. »ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν ἀμφὶ γάμῳ·« καὶ Ὀδσ. Α, 48. »..Ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ.« καὶ Δ, 151. καὶ Τ, 95. »ἀμφὶ πᾶσι εἰρέσθαι.« Ὡσαύτως καὶ παρ' Ἡρδτ. πολλάκις· »καὶ ἀμφὶ μὲν τῷ νόμῳ τούτῳ ἐχέτω, ὡς καὶ ἀρχὴν ἐνομίσθη·« καὶ 3, 32. »Ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξός..λέγεται λόγος·« καὶ 5, 19. »ἄλλα ἀνέχευ' ὁρέων τὰ ποιεύμενα· ἀμφὶ δὲ ἀπόδῳ τῇ ἐμοὶ πείσομαί τοι« 52. »Ἔχει γὰρ ἀμφὶ τῇ ὁδῷ ταύτῃ ὧδε·« καὶ 6, 62. »Ὁδέ, οὐδὲν φοβηθεὶς ἀμφὶ τῇ γυναικί...« Ἔτι δὲ καὶ ἀμφί τινι λέγεσθαι, ὡς ἡ Περὶ μετὰ γενκ. π. χ. παρ' Ἡρδτ. 3, 32. »Ἀμφὶ τῷ θανάτῳ αὐτῆς διξός, ὥσπερ περὶ Σμέρδιος, λέγεται λόγος.« Ὅθεν μετὰ δοτικ. σημαίνει καὶ τὴν αἰτίαν, τὸ μέσον, δι' οὗ συμβαίνει τι· »τὸν γὰρ Ἴδας, ἀμφὶ βουσίν πως χολωθείς, ἔτρωσεν χαλκέας λόγχας αἰχμᾷ·« Πνδ. Νμ. 10, 113.— διὰ τὰς βοῦς — (ἐξ αἰτίας διὰ τὰ βόδια) καὶ Ἡσδ. Ἐρ. 188. »ἡ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι, μύρετο· — ὑπὸ τῶν ὀνύχων πεπαρμ. — (τρυπημένη ἀπὸ τὰ 'νύχια)· Jac. ΑΠ. σλ. 664.

Γ) Μετὰ Αἰτιατικῆς, ἐνίοτε καὶ παρὰ Λογογράφοις ἐν χρήσει· 1) ὡς καὶ μετὰ δοτκ. τὸ κύκλῳ, πέριξ (ὁλόγυρα, τριγύρω)· τὸ πλεῖστον ὅμως κατὰ παρεμβεβλημένην σημασίαν τοῦ, ποῖ (ποῦ, εἰς τί, εἰς ποιὸ μέρος)· »..ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν, ἠδὲ χιτῶνα.« Ὀδσ. Κ, 365. καὶ Ξ, 314. »ἀμφὶ δ' ἑὸν φίλον ἐχεύατο πήχεε λευκώ·« καὶ Ζ, 117. »ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινὸν ἄν-

τυξ. .« 2) μὴ πάνυ ἀκριβοῖς, οἵοισι ἐγγὺς μόνον κεῖμενον ἢ ὑπάρχον, τὸ ἀντικείμενον δηλοῦντας διοριστικούς: Ἐπὶ τόπου δηλώσεως· »..τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἄλα ἕλται Ἀχαιοὺς κτεινομένους·« Ἰλιάδ. Α, 409. (πρός, ἢ κατὰ τὰ καράβια καὶ τὴν θάλασσαν). »..Καὐστρίου ἀμφὶ ῥέεθρα, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσι..« Β, 461. Ἔτι δὲ καὶ προτιθεῖσι τῆς Περὶ ἄμα· »..ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην, ἱερούς κατὰ βωμούς, ἕρδομεν ἀθανάτοισι τελήεσσας ἑκατόμβας.« Β, 305. καὶ Ψ, 391. »..μὴ πρὶν μένος ἠελίοιο σκήλῃ ἀμφὶ περὶ χρόα ἵεται, ἠὲ μέλεσσιν·« καὶ Θκρ. ζ, 142. »..ποιῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι·« καὶ Δ, 706. »ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν, ἀμφὶ τε ἄστυ ἕρδομεν ἱρὰ θεοῖς·« ἀμφὶ τὰ μέσα· σχεδόν περὶ τὰ μέσα (κατά, ἢ πρὸς τὴν μέσην). Ὥσαυτως τὸ πλησίον ἀνθρώπου τινος· »..πολλὲς δ' ἀμφ' αὐτὸν ἑταῖροι πρηνέες ἐν κονίῃσιν ὀδὰξ, λαζοίατο γαῖαν.« Ἰλιάδ. Β, 417. καὶ 445. »οἱ δ' ἀμφ' Ἀτρείωνα διοτρεφὲς βασιλῆες δοῦπον κρίνοντες.«: Τοὺς ἀκολούθους τινος· (ὅσοι ἀκολουθοῦν τινα, πηγαίνουν κατόπι του)· »οἱ δ' ἀμφὶ Πρίαμον, καὶ Πάνθοον, ἠδὲ Θυμοίτην, Λάμπον τε, Κλυτίον τ', Ἱκετάονά τ', ὄζον Ἄρηος, Οὐκαλέγων τε καὶ Ἀντήνωρ..« Ἰλιάδ. Γ, 146. (δηλ. ὁ Πρίαμος, ὁ Π, ὁ Θ, ὁ Λ, ὁ Κ, ὁ Ι. μὲ τοὺς ἀκολούθους των Οὐκαλ., καὶ Ἀντ.) καὶ Ἡρόδ. 3. Τὸ δὲ »..οἱ μὲν ἀμφὶ Κορινθίους ἐτράποντο διὰ τῆς ὑπώρης καὶ τῶν κολωνῶν...οἱ δὲ ἀμφὶ Μεγαρέας τε καὶ Φλιασίους διὰ τοῦ πεδίου..« αὐτόθι 9, 69. ἐστὶν = οἱ Μεγαρέες καὶ Φλιάσιοι, ὡς παρακατιὼν κεῖται· ὡσαύτως δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο οἱ Μεγαρέες καὶ Φλιάσιοι..« ὡσαύτως καὶ ἀλλαχοῦ παρὰ τῷ αὐτῷ, οἱ ἀμφὶ Κορινθίους = οἱ Κορίνθιοι. Ἐξ οὗ ἐσχηματίσθη ἡ παρὰ τοῖς Ἀττικ. ἰδίως περιφραστικὴ χρῆσις τῆς Ἀμφὶ μετὰ αἰτιατικ. κυρίου Ὀνόματος μάλιστα· π. χ. οἱ ἀμφὶ Κρίτωνα, τοῦτ' ἔστιν ὁ Κρίτων αὐτός· κατὰ σημασίαν ὅμως οὐ τὴν ὑπάστασιν τοῦ ὑποκειμένου τοῦ Κρίτωνος ἀκριβῶς καὶ τελείως δηλοῦσαν, ἀλλὰ τὰ τοῦ Κρίτωνος, τοῦτ' ἔστι τὰ ἰδιώματα τοῦ Κρίτ. ὅσα ἦν δυνατὸν καὶ ἄλλοις κοινὰ εἶναι. Οὕτως ἔχουσι οὖν καὶ αἱ φράσεις, οἱ ἀμφὶ Πλάτωνα· ὁ Πλάτων δηλονότι μετὰ τῶν ἀκροατῶν αὐτοῦ· οἱ ἀμφὶ Εὐθύφρονα· ἀντὶ ὁ Εὐθύφρων καὶ οἱ αὐτῷ ὁμοιότροποι. »Τῇ τοῦ Εὐθύφρονος ἐπιπολῆς πιστεύεις, ὡς ἔοικας..δοκῶ γάρ μοι τι καλορᾶν πιθανώτερον τούτου τοῖς ἀμφὶ Εὐθύφρονα·« Πλτ. Κρατ. σελ. 399. Ε ὑπὸ Heind ὡσαύτως καὶ μετὰ τῆς Περί. Ἔτι δὲ καὶ ἐπὶ στρατηγοῦ, ἢ ἡγεμόνος· οἱ ἀμφὶ Κῦρον·« Ξεν. ὁ Κῦρος δηλ. μετὰ τῆς στρατιᾶς αὐτοῦ· ὅσον ἐν τέλει, ἢ θεραπείᾳ τινος, οἱ ἑπόμενοι, συνεπόμενοι, παρεπόμενοι, οἱ συνομιλοῦντες τινι, οἱ κοινωνοί. οἱ ἑταῖροι, οἱ ἀκόλουθοι, οἱ ἀκροαταὶ ἢ μαθηταί τινος· (οἱ δοῦλοι, ὅσοι ἀκολουθοῦν τινα, πηγαίνουν κατόπι του μαζύ, τὸν συνοδεύουν, συναναστρέφονται μὲ αὐτόν, ὅσοι εἶναι ἀπὸ τὸ μέρος ἢ τὸ τουρκοβ. ἀπό τὸ ταράγι τινος, οἱ συντρόφοι, τὸ ἰταλ. καμαράτοι δὲ ἢ τὸ τουρκοβ. χαλντάπιδες, οἱ μαθηταί δέ τινος). Τοῦ οὐδετέρου δὲ ἄρδην πληθυντ. τῆς ἀμφὶ προτιθεμένου σημαίνει πράγματι μετὰ τῶν αὐτῷ ἀνηκόντων· π. χ. τὰ ἀμφὶ τὸν πόλεμον, δηλονότι ὁ πόλεμος καὶ πάντα ὅσα τῷ πολέμῳ ἀνήκουσι. Σπανιώτατα καὶ μόνον παρ' Ὁμ. εὕρηται, κλαίειν ἀμφί τινα, ἀντὶ περί τινος ἢ ὑπέρ τινος· »ἀμφὶ δέσε Τρωαὶ καὶ Δαρδανίδες βαθύκολποι κλαύσονται, νύκτας τε καὶ ἤματα δακρυχέουσι·« Ἰλιάδ. Σ, 340. ὡσαύτως καὶ, μνήσασθαι ἀμφί τινα· ἀντί τινος· »Ἀμφὶ Διώνυσον, Σεμέλης ἐριαύχενος υἱόν, μνήσομαι, ὡς..« Τμ. Ὁμ. Διον. 1. — 3) Τὸν σχεδόν ἢ περίπου διορισμὸν χρόνου, μέτρου, ἢ μεγέθους· »ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον ἔχει μελιτόεσσαν εὐδίην·« Πιν. Ὀλ. 1, 157. καὶ 2, 55. »Λέγουσι δ' ἐν καὶ θαλάσσᾳ μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον Ἰησοῖ τεταχθαι τὸν ὅλον ἀμφὶ χρόνον·« ἀντὶ διὰ βίου, διὰ παντὸς χρόνου, ἢ τὸν πάντα χρόνον (ὅσον ζῇ, ὅλον τὸν καιρόν). Καὶ παρὰ Ξεν. ἀμφὶ τὸν χειμῶνα, ἀμφὶ ὄρπιστον, ἀμφὶ μέσον ἡμέρας· Ξεν. ἀντὶ τῆς περὶ ἢ τῆς κατὰ μετὰ αἰτιατ. κατὰ τὸν χειμῶνα, περὶ ὄρπιστον, περὶ μέσην τὴν ἡμέραν· (πρὸς τὸν χειμῶνα, πρὸς τὸν καιρὸν τοῦ δείπνου, κατὰ τὸ μεσημέρι) Ἔτι δὲ καὶ ὡς ἡ Εἰς πλήν ὅτι τῇ Εἰς οὐδέποτε ἐπιφέρεται τὸ ἄρθρον, τῇ δὲ ἀμφὶ ἀεί· ἀμφὶ τὰ τεσσαράκοντα ἔτη εἶναι· ἀντὶ εἰς 40., ἢ περὶ τὰ 40 ἔτη (ἴσως παράνυ χρόνια ἔχει ἢ εἶναι)· ἀμφὶ τὰς δώδεκα μυριάδας· εἰς 12, ἢ περὶ τὰς 12· μυριάδας (ἴσως ἑκατὸν εἴκοσι χιλιάδες). Ξεν. — 4) Ἀττικαὶ φράσεις· εἰς τὰς ὁποίας ἡ Ἀμφὶ ἐκφέρεται μετὰ ἐπιῤῥήματος, οὐσιαστικοῦ καὶ ῥήματός τινος· π. χ. ἐπιμελῶς ἀμφίτι ἔχω = ἐπιμελοῦμαι τινος ἢ φροντίζω ὑπέρ τινος· (ἐπιμελοῦμαι ἢ φροντίζω διά τίποτε) ὡσαύτως καὶ εἰμί, διατρίβω, στρατεύομαι ἀμφί τι· κ. τ. τ.

Δ) Ἄνευ πτωτικοῦ καὶ ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ κύκλῳ, περιῇ, πάντοθεν· (ὁλόγυρα, τριγύρω, ἀπὸ ὅλα τὰ μέρη) παρ' Ὁμ. ἐπὶ τὸ πλεῖστον, ὅστις πολλάκις χωρίζει αὐτὴν τοῦ αὐτῇ συνθέτου ῥήματος, ὥστε ἀμφιβάλλεται ἐνίοτε ἂν πρέπῃ νὰ ἐκλαμβάνηται ἡ ἀμφὶ καθ' ἑαυτὴν ὡς Ἐπίῤῥ. ἢ ὡς μέρος τοῦ ῥήματος· π. χ. »ἀμφὶ δὲ σῆμα κελαινὴ νὺξ ἐκάλυψε·« Ἰλιάδ. Ε, 310. καὶ Π, 316. »ἀμφὶ δ' ἕπον, καί μιν διέχευαν ἅπαντα.« Πολλάκις δὲ πρέπει νὰ ἀναπληρῶται τὸ ῥῆμα ἐκ τῶν προηγουμένων· π. χ. ὡς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες, σᾶνον·« Ὀδσ. Κ. 218. ὅπου ἡ ἀναπλήρωσις τοῦ ῥήματος γίνεται ἐκ τοῦ προηγουμένου, 217. στίχου. ὡς δ' ὅταν ἀμφὶ ἄκητα κύνες ἀείτηδον ἰόντα σαίνωσ'.« Ἔτι δὲ καὶ ἀμφὶ περί, ἐπιῤῥηματικῶς ὡσαύτως· Ἰλιάδ. Ψ, 10. Τοιοῦτον ἐστὶ καὶ τὸ »ἀμφὶ σοῦ ἕνεκα« ἀντὶ ἕνεκά σου· Σφκλ. Φιλ. 504. ὑπὸ Herm. Vig. σλ. 854. — 2) = ἀμφὶς κατὰ τὴν γ'. σημ. ὡς τὸ χωρὶς, δίχα (ἔχωρα, χωριστά, ἐχωρίστα, ἄχωρα) »ἀμφὶ δὲ τιμῆς κἀγὼ τῆς οὐσίης ἐπιβήτορας, ἧς περ Ἀπόλλων·« Τμ. Ὁμ. Ἑρ. 172. καὶ Δμ. 86. »ἀμφὶ δὲ τιμὴν ἄλλαχεν, ὡς τὰ πρῶτα διάτριχα δασμὸς ἐτύχθη.«

Ε) Ἐν συνθέσεσι σημαίνει, τὸ, κύκλῳ, πέριξ, παντοχόθεν, ἑκατέρωθεν (ὁλόγυρα τριγύρω, ἀπὸ ὅλα ἢ καὶ ἀπὸ τὰ δυὸ μέρη) ὥστε ἐνίοτε φαίνεται ἀντὶ τοῦ δύο κειμένη, καὶ τὸ ἀμφ ω σημαίνουσα· π. χ. ἀμφίστομος = δίστομος. Παράβαλε ἀμφίαλος. Ἐνίοτε δὲ σημαίνει διὰ ταύτης τῆς συνθέσεως καὶ ποιητικόν τι αἴτιον· π. χ. »νέκυος δὲ δὴ ἀμφιμάχονται γυμνοῦ·« Ἰλιάδ. Σ, 20. τοὐτέστι περὶ τοῦ νεκροῦ μάχονται· καὶ »τοῦ δ' ἀμφιτρομέω καὶ δείδια·« Ὀδσ. Δ. 820. δηλ. τοὐδὲ ἕνεκα τρομέω·« — Ἡ Ἀμφὶ οὐδέποτε πάσχει ἀναστροφήν, εἰ καὶ ἐνίοτε ἐπιφέρεται τῷ ῥήματι· ὡς ἐν Ὀδσ. Κ. 218. »ὡς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες, ἠδὲ λέοντες, σαίνουσι.«

Ἀμφιάζω, (ἀμφὶ, ὡς ἀντιάζω παρὰ τὸ ἀντί) περικαλύπτω, ἐνδύω, σκεπάζω· Ἐπὶ ἱματίων· Ἄλεξ.

Ἀμφίαλος, ὁ, ἡ· (ἅλς) ὁ ἀμφοτέρωθεν περικυκλούμενος ἀπὸ θάλασσαν τόπος· ὁ παντοθεν περιεχόμενος τῇ θαλάσσῃ· ἀεὶ ὡς ἐπίθετον τῆς Ἰθάκης· Ὀδ. Α. 386. »εἰν ἀμφιάλῳ Ἰθάκῃ.« 2) Κατὰ τὸν Πολυδ. Ἀμφιθάλαττος· ἡ ἑκατέρωθεν ἔχουσα θάλατταν ὡς ἡ Κόρινθος. Ξεν. Ἑλλ. 4, 2, 13. 3) κύριον Ὄνμ. εὐγενοῦς τινος Φαίακος (Κορφιώτου)· Ὀδσ.

Ἀμφιάναξ, τος, ὁ· (ἄναξ) οἱ τῶν διθυράμβων Ποιηταὶ οὕτω καλοῦνται, ἅτε ἠρχόμενοι ἐν τοῖς ἑαυτῶν ποιήμασιν ἐκ τοῦ Ἀμφὶ, καὶ Ἄναξ· ὡς τὸ »ἀμφὶ μοι αὖτε, Φοῖβε ἄναξ Δήλιε·« παρ' Ἀριστοφ. Σχολ. Νέφ. 596. καὶ 591. ἀφ' οὗ

Ἀμφιαναξίζω, ἴδω, προοιμιάζω ἐνθουσιασμένος κατὰ τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον Ὄρθριον, ἦν γὰρ αὐτῷ προοίμιον ταύτην ἔχειν τὴν ἀρχήν· »ἀμφὶ μοι αὐτὸν ἀναχθ' ἑκατηβόλον ὕμνον χρήσω.«

Ἀμφιάρεος· Ἰων. Ἀμφιάρηος· Ἀττ. Ἀμφιάρεως, ω, ὁ· ὀνμ. κύρ. ἐν Ὀδσ. κατὰ πρῶτον.

Ἀμφίας, ου, ὁ· παρὰ Σουϊδ. καὶ Ἄμφις, παρ' Ἀθην. Α'. 31. καὶ Ἄμφος, εἶδος ἀχρείου οἴνου τῆς Σικελίας· ἢ κατ' ἄλλους, τὸ ἄνθος τοῦ οἴνου, ἢ καὶ ὁ ἄκρατος οἶνος.

Ἀμφιάστις, εως, ἡ· (ἀμφιάζω) καὶ Ἀμφιασμός, ὁ, καὶ Ἄμφιασμα, τό· ἔνδυμα, σκέπασμα· 2) τὸ ἐνδύεσθαι τὰ ἱμάτια· Διονύσ. Ἁλικ. Β'. 62. ἅπου τὰ χειρόγραφα Ἀμφιετμός· ἔχουσι.

Ἀμφιάχω, (ἰάχω) περιηχῶ, φωνάζω ὁλόγυρα· Ὁ ἀνώμαλ. Παρακμ. τῆς μετοχ. ἀμφιαχυῖα, παρ' Ὁμ. Ἰλ. Β. 310. »Τὴν δ' ἐλελιξάμενος πτέρυγας λάβεν ἀμφιαχυῖαν·« ὀρνεοῦσαν περὶ τὰ τέκνα αὐτῆς· ἱπταμένην ὁλόγυρα καὶ θρηνοῦσαν.

Ἀμφιβαίνω, Μλ. ἀμφιβήσομαι (βαίνω· ἀνώμ.) ὑπάγω, περιπατῶ, ὁλόγυρα· πολλάκις ἐπὶ Θεῶν = ὑπερασπίζω, προστατεύω, διαφυλάττω· »Κίλλαν ἀμφιβέβηκας·« Ἰλιάδ. Α, 37. καὶ Ὀδσ. Α, 198. »ὡς Ἴτυμον ἀμφιβεβήκει·« σπανιώτερον δὲ ἐπ' ἀνθρώπων· »ἀμφὶ κασιγνήτῳ βεβαὼς·« Ἰλιάδ. Ξ. 477. Περιέρχομαι, περικυκλοῦμαι, περιφέρομαι· Ἰλ. Π. 777. »ἠέλιος μέσον οὐρανὸν ἀμφιβέβηκε· ἀλλ' ἐν Ὀδσ. Ι'. 371. »ἀμφ' ἐνὶ σούρατι βαῖνε, κέλητ' ὡς ἵππον ἐλαύνων·« καίτοι αὐτὸ τοῦ, Ἀναβαίνω· ἀνέβη καὶ ἐκάθησεν ἐπάνω εἰς τὸ ἅρμα· 2) φράζω, ἢ σκεπάζω ὁλόγυρα, περικυκλόω, κατασκεπάζω· »πόδας φρένας ἀμφιβέβηκε·« Ἰλιάδ. Χ, 315. κατέλαβε κατεπλάκωσε τὴν καρδίαν σου· καὶ Ὀδσ. Θ, 541. Σπανίως μετὰ ὄστε. »νέφος ἀμφιβέβηκε ἰηνσίν·« Ἰλιάδ. Π, 66. καὶ Εὐρπ. »ἀμφιβαίνουσι δράσος·« 3) Περισκοπῶ· ἐπὶ ζώων τὰ ὁποῖα περικαλύπτουσι καὶ διαυδαντεύουσι τὰ μικρά των εἰς καιρὸν ἀνάγκης, καθὼς π. χ. ἡ κλωσσαρὰ σκεπάζει τὰ πουλάκια της. Ὀππιαν. Κυν. Γ'. »ἔδυ παῖς ἀμφιβεβῶτα·« καὶ ἐντεῦθεν γενικῶς ἀντὶ τοῦ Ὑπερασπίζομαι, Διακινδυνεύω· ὡς π. χ. εἰς καιρὸν μάχης, ὁπόταν φονεύσῃ μαχητής τινάς, τὸν ὁποῖον θέλει ὁ ἐχθρὸς νὰ τὸν ξεγυμνώσῃ, ἢ νὰ τὸν ἁρπάσῃ, παρ' Ὁμήρ. Ὁ ἕτερος Ἰωνικὸς σχηματισμὸς Ἀμφισβητέω, ἀντὶ Ἀμφιβατέω, ὁμοῦ μὲ τὴν παραγωγὴν του ἐκράτησε καὶ τὴν ἐκ τούτου παραγομένην ἰδιαιτέραν σημασίαν του, Μάχομαι, φιλονεικῶ, δικάζω, κριτολογῶ· καὶ ἐντεῦθεν ἀντὶ τοῦ Ἀμφιβάλλω, Ἀντιλέγω· Ἡρόδοτ. Θ'. 74. »Λόγος τῶν πρότερον λεχθέντι ἀμφισβατέων·« καὶ »Ἐντεταμένως ἀμφισβατέειν·« ἀντὶ τοῦ, Ἐπιβεβαιοῦν μετ' ἀντιλογίας· καὶ ἐντεῦθεν Ἀμφισβήτησις, καὶ »Ἀμφισβασία λόγων παρ' Ἡροδοτ. Η'. 81. Ἀντιλογία, φιλονεικία, ἢ διὰ λόγων μάχη· ὡς καὶ τὸ ἐν Δ'.

14. «ἐς ἀμφισβατίας τοῖτι λόγοιτι ἀπικνέεσθαι.»

Ἀμφίβαιος, ὁ· Ἐπίθ. τοῦ Ποσειδῶνος παρὰ τοῖς Κυρηναίοις = ἀμφίγαιος, γαιήοχος· Τζέτζης, καὶ Λεφ. 749.

Ἀμφιβάλλω, Μ. βλήσω· Π. βέβληκα (βάλλω· ἀνηλ.) Περιβάλλω, περιτίθημι, ῥίπτω, βάλλω ὀλόγυρα· ἐνδύω, φορέω· Ἰλ. Υ. 74. «κρατερόν τε μέσον ἀμφιβαλόντες ἑκάτερθεν.» ὡς καὶ τὸ ἄλλως· «Ἐπειμένος ἀλκὴν.» συμβαλόντες καὶ εἰς ἓν συναγαγόντες τὰς ἑαυτῶν δυνάμεις, ἤτοι ἀντερείσαντες ἀλλήλοις. 2) Ῥίπτω ἐξῶ καὶ ἐκεῖ ἢ ὀλόγυρα, ἑκατέρωθεν βάλλω· ἀμφοτέρωθεν βάλλω τὸν νοῦν· ὅ ἐστιν, Ἐνθουσιάζω, διστάζω, Αἰλιαν. Π. Ἱστ. Θ'. 53. 3) Μέσως δὲ Ἀμφιβάλλομαι, περιτίθεμαι, ὁπλίζομαι, ἁρματώνομαι, ζώνομαι, ἐνδύομαι· Ὀδυσ. Χ. 103. «νευρὴν ἀμφιβαλλόμενοι.» περιζώσομαι, ὁπλισθήσομαι· «Ἀμφιβαλοῦ τὸ ξίφος.» Φωκυλ. ζῶσαι τὸ σπαθί· 4) παρὰ τοῖς μετγν. Οὐδετέρ. κεῖται ἀντὶ τοῦ, Ἐκπίπτω (ξεπέφτω) ἀπὸ τὴν προτέραν μου κατάστασιν· ἀναποδογυρίζω, πίπτω ἀπὸ ἕνα εἰς ἄλλο. Ἀλκίφρ. Α'. 37. «ἀλλ' ἀμφιβάλλειν εἰωθε τὰ ψέλια καὶ ἀποσκήπτειν εἰς ὄλεθρον.» Ἔτι δὲ καὶ ἀντὶ τοῦ Περιλαμβάνω, περικλείω, περικυκλόνω· καὶ ἀντὶ τοῦ Περιπλέκομαι, ἀγκαλίζω, ὡς ἐν Ἰλ. Ψ. 97. «ἀλλήλους ἀμφιβαλόντε.» ὅπου ἄλλοι, Ἀμφιχυθέντε, ἀνέγνωσαν. 5) «ἀμφιβάλλω εἰς αὐλὴν.» πηγαίνω, ἐμβαίνω εἰς χωρικὴν οἰκίαν· Εὐρ. Κυκλ. 60.

Ἀμφιβασία, ας, ἡ· καὶ Ἀμφίβασις, εως, ἡ· (ἀμφιβαίνω) τὸ περιίστασθαι· περικύκλωσις πρὸς διανοήτευσιν, σκέψιν, βοήθειαν· Ἰλ. Ε. 623. «Δείσε δ' ὅγ' ἀμφιβασιν κρατερὴν Τρώων ἀγερώχων.» ὑπερμάχησιν, συνασπισμόν· ἢ τὴν περικύκλωσιν τῶν νεκρῶν πρὸς διανοήτευσιν τοῦ νεκροῦ σώματος· τοιοῦτον καὶ τὸ ἐν στίχ. 299. ὅπου κεῖται τὸ ῥῆμα, Ζήτει, Ἀμφιβάινω· καὶ εὐτυχῶς. 2) γενικῶς ἀντὶ τοῦ, Μάχη, ἔρις, φιλονεικία· παράβαλε καὶ τὸ παρ' Ἡρόδ. «ἀμφισβασίας.» λέγουσι ἀπικνεῖσθαι· «λέγουν ὅτι ἤρχοντο εἰς φιλονεικίας, ἐφιλονεικοῦσαν· εἰς τὴν αὐτὴν σημασίαν εὑρίσκεται παρὰ τῷ αὐτῷ καὶ τὸ, Ἀμφίβασις.

Ἀμφιβατέω, ῶ. Μ. ήσω. καὶ Ἀμφιβάω. Ζήτ. Ἀμφιβαίνω.

Ἀμφιβατήρ, ῆρος, ὁ· διαφευτευτής· ἰδὲ ἀμφιβαίνω.

Ἀμφιβάω. Μ. ήσομαι· Πρκ. βηκα, καὶ Ἀμφιβέβαα· ἡ Μετοχ. Ἀμφιβεβαώς, καὶ Ἀμφιβεβώς· περιοδεύω, περικυκλόνω, ὑπερμαχῶ, διανοήτευω. Ὁππ. Κυνηγ. Γ'. «ὃν πάις ἀμφιβιβῶτα,» ὅηλ. περικυκλόνοντα, καὶ διανοήτευοντα τὸν υἱὸν του· καθὼς καὶ ἡ κύων τὰ σκυλάκιά της, καὶ τὰ ἄλλα ζῶα τὰ τέκνα των.

Ἀμφίβιος, ὁ, ἡ· (βίος) ὁ διττῶς ζῶν, ὁποῖος ζῇ καὶ ἐπάνω εἰς τὴν γῆν καὶ μέσα εἰς τὸ νερόν. Ὀμ. Βατραχ. 59. «ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοιτι Κρονίωνα κατὰ Θφρστ. Δψ. 12, 12. ὁ Δημόκριτος μετεχειρίσθη πρῶτον τὴν λέξιν.

Ἀμφίβλημα, τος, τό· (ἀμφιβάλλω) πᾶν ὅ,τι τινὰς περιβάλλεται, ἐνδύεται· φόρεμα, ἔνδυμα Εὐρ. Φοιν. 786. «πανοπλίαι ἀμφιβλήματα.» ὅηλ. πολεμικὰ φορέματα, ὡς Θώρακες, κτλ. 2) Περίβολή, περίφραγμα ὁ αὐτ. Ἑλέν. 70. «βασίλειοι ἀμφιβλήματα· αἱ περίβολαι τῶν βασιλικῶν παλατίων.

Ἀμφιβληστρευτικός, κή, κόν· ὅπου ἀνήκει εἰς ἀμφίβληστρον· ὡς, «ἀμφιβληστρευτικὴ τέχνη,» ἡ ψαρική.

Ἀμφιβληστεύω· (ἀμφίβληστρον) μεταχειρίζομαι τὸ ἀμφίβληστρον, ψαρεύω,

Ἀμφιβληστρικός, κή, κόν· ὅμοιος ἀμφιβλήστρῳ· ἀνήκων, ἁρμόζων, ἢ ἐπιτήδειος, ἢ χρησιμεύων εἰς ἀμφίβληστρον. Ἡ ἀμφιβληστρικὴ, ὑπακουομ. τέχνη, ἡ τέχνη τοῦ νὰ πλέκῃ τις δίκτυα.

Ἀμφιβληστροειδής, έος, ὁ, ἡ· (εἶδος) ὅμοιος ἀμφιβλήστρῳ, ἀραχνοειδής. Πολυδ. «ὁ ἀμφιβληστροειδὴς τοῦ ὀφθαλμοῦ χιτών.»

Ἀμφίβληστρον, ου, τό· (ἀμφιβάλλω) τὸ δίκτυον, τὸ πλεμμάτι τῶν ψαράδων. Ἡσίοδ. Ἀσπ. 215. «εἶχε δὲ χερσὶν ἰχθύσιν ἀμφίβληστρον.» καὶ Ἡρόδ. 1, 141. «λαβεῖν ἀμφίβληστρον, καὶ περιβαλεῖν τὰ πλῆθος . . .» καὶ 2, 95. 2) Πᾶν ὅ,τι ῥίπτει ἢ βάλλει τις ὀλόγυρα, φόρεμα ἔνδυμα. Σοφοκλ. Τραχιν. «καθῆψεν ὦμος τοῖς ἐμοῖς Ἐρινύων ὑφαντὸν ἀμφίβληστρον.» ἐρρίπτησεν ἐπάνω εἰς τοὺς ὤμους μου ἓν μάλλιον φόρεμα· ὑπὸ ἀμφίβληστρα.» Εὐρ. Ἑλέν. 1085. ἐνδυμασίαι, φορεσιαί· παρ' Αἰσχύλ. τὰ Δίκτυα, Προμ. 81. Ζήτ. Ἀμφιβολή.

Ἀμφιβόητος, ὁ, ἡ· (βοάω) Περιβόητος, περίφημος. Ἐπιγρ. ὀλόγυρα εἰς τὸν ὁποῖον γίνεται, ἢ ἔγινε ταραχή, θόρυβος, κτύπος.

Ἀμφιβολεύς, έως, ὁ· (ἀμφιβάλλω) ἁλιεύς, ψαρᾶς· ὁ μεταχειριζόμενος τὸ ἀμφίβληστρον.

Ἀμφιβολή, ῆς, ἡ· = ἀμφίβληστρον. Ὀππιαν. Ἁλ. Δ'. 49. «λίνου ἀμφιβολάς.» ἀντὶ τοῦ, λίνου ἀμφιβαλλόμενον, ἢ ἀμφίβληστρον· ὁ Σχολ.

Ἀμφιβολία, ας, ἡ· τὸ νὰ ἀμφιβάλλῃ, νὰ μὴ εἶναι βέβαιός τις. 2) ἀμφίβολος κατάστασις, ἀπορία, στενοχωρία· ὡς, «ἐν μεγάλῃ καὶ δεινοτάτῃ ἀμφιβολίᾳ.» Ἡρόδ. Ε'. 74.

Ἀμφίβολος, ὁ, ἡ· (ἀμφιβάλλω) ὁ ἔχων διπλῆν σημασίαν· ὁ διπλοῦς κατὰ τὴν γνώμην, ἀβέβαιος. 2) ὁποιος βάλλεται, κτυπᾶται μὲ τὰ βέλη καὶ ἀπὸ τὰ δύο μέρη ἢ παντοχόθεν. Θουκυδ. Δ'. «ἀμφίβολοι ὄντες οὐκ ἔτι ἀντεῖχον.» καὶ Ἀρρίαν. Γ'. 18. Δ'. 29. ἔτι δὲ καὶ αὐτὸ τοῦ Πληγωμένος ἀπὸ ὅλα τὰ μέρη διὰ τῶν βελῶν. 3) ἀπὸ φορέματα, ἔνδυμα, δίκτυα περικυκλούμενος, περιτειλιγμένος. Εὐρ. Ἰων. 1490. «ἀμφίβολος σπάργανα.» ἀντὶ τοῦ, περιτυλιγμένος· καὶ Τρωάδ. 537. «λίνα ἀμφίβολα.» καὶ Ἐπιγρ. «πλωτῶν εὐπλεκὲς ἀμφίβολον.» ἀντὶ Ἀμφιβλήστρου. 4) ἐνεργ. ὅστις κτυπᾷ, ἐπιτυχαίνει καὶ ἀπὸ τὰ δύο μέρη. Ταρ. 24. ἀμφιβ. ὑπὸ Erkl. Παρ' Ὀργ. κατὰ Κέλσ. δ'. δὲ, Ἀμφίβολοι καλοῦνται οἱ ἀμφοτέρωθεν μετερχόμενοι τὰ ἀφροδίσια.

Ἀμφιβόλως. Ἐπίρρ. μὲ ἀμφίβολον τρόπον· μὲ ἀμφιβολίαν. Αἰσχύλ. Θβ. 865.

Ἀμφιβόσκομαι· (βόσκομαι) βόσκω ὀλόγυρα ἀπὸ ὅλα τὰ μέρη· κατατρώγω. Λουκιαν. Τραγοπ.

Ἀμφιβουλος· (βουλὴ) ἀμφίβολος, ἀβέβαιος· ἀναποφάστιστος, ὅστις ποτὲ ἕνα πότε ἄλλο ἀποφασίζει. Αἰσχύλ. Εὐμ. 720.

Ἀμφιβράγχια, ων, τά· (βράγχος) ὁ περὶ τὰ παρίσθμια τόπος, αἱ γαργαλίθραι τοῦ λαιμοῦ. Ἱπποκρ. «νοσέει δὲ ἢ ἀπὸ κυνάγχης, ἢ ὑπὸ σταφυλῆς, ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπύων γενομένων.» ὅπου Ἀντιβράγχια, κεῖται.

Ἀμφίβραχυς, εῖα, υ· ἐξ ἀμφοτέρων τῶν μερῶν βραχὺς· καὶ ἀπὸ τὰς δύο ἄκρας κοντός. 2) ὁ, ποὺς μετρικὸς ἐκ τριῶν συνιστάμενος συλλαβῶν, ὧν ἡ μέση μὲν μακρά, αἱ δὲ κατὰ τὰ ἄκρα, βραχεῖαι· καθὼς, π. χ. Βοηδός. (υ - υ)

Ἀμφίβροτος, τη, τον· ἔτι δὲ καὶ ἀμφιβρότης, ου, ὁ· (βρετὸς) παντοχόθεν τὸν βροτόν, δ' ἐστι, τὸν ἄνθρωπον περιέχων καὶ σκεπάζων· ὡς, «σπίδος ἀμφιβρότης.» Ἰλ. Β. 389. ὁ δὲ Νίκανδρ. καὶ «κώδειαν ἀμφιβρότην,» εἶπεν.

Ἀμφίβροχος, ου, ὁ, ἡ· (βρίχω) ὁ παντοχόθεν βεβρεγμένος, διόλου βρεγμένος. Ἐπιγρ. 2) Μεταφορ. μεθυσμένος.

Ἀμφιβώμιος, ὁ, ἡ (βωμὸς) περὶ τὸν βωμὸν ὢν ἢ εἱμένος, τὸν βωμὸν περικυκλῶν, (ἔστις εἶναι ἢ εὑρίσκεται ὀλόγυρα εἰς τὸ θυσιαστήριον, Ἰταλ. altare· ἢ ὅστις περικυκλοῖ τὸ θυσιαστ. Εὐρ. Τρω. 578.

Ἀμφίβωτος, ὁ, ἡ· = Ἀμφιβόητος· κατὰ συγκοπ. Ἐπιγρ. τινὲς δὲ ἀναγινώσκουσι καὶ ἀμφιβῶτος, ὁ, ἡ.

Ἀμφιγάνυμαι· (γάνυμαι) = ἀμφιγηθέω· παντοχόθεν χαίρω. Κοϊντ. Σμυρν. Α'. 61. «Δαναοὶ δ' ἀμφεγάνυντο.»

Ἀμφίγειος, ου, ὁ, ἡ· γείτων, πλησιόχωρος, πλησίον τῆς γῆς. Διονύσ. Περιηγ.

Ἀμφιγένεια, ης, ἡ. Πόλις ἐν τῇ Ἠλιδι. Ἰλ. Β, 593.

Ἀμφιγένυς, υος, ὁ, ἡ· (γένυς) μὲ διπλῆν γνάθον, σιαγόνα· ὅθεν τραπ. παρ' Ἡσυχ. «ἀμφιγένυς ἀξίνη.» ἢ ἑκατέρωθεν, καὶ ἀπὸ τὰ δύο μέρη κοπτερὰ ἀξίνη. = τὸ Ἀμφήκης.

Ἀμφιγηθέω. Μ. ήσω. Παρακ. Ἀμφιγήγηθα. (γηθέω) κατὰ πολλὰ χαίρω. Ὀμ. Ὕμν. Ἀπόλ. 273. «. . . σὺ δὲ φρένα ἀμφιγεγηθώς.»

Ἀμφίγλωσσος, ὁ, ἡ· (γλῶσσα) μὲ δύο γλώσσας, μὲ δύω σημασίας. 2) ὅστις ὁμιλεῖ δύω γλώσσας.

Ἀμφιγνοέω, ῶ· Μ. ήσω· (νοέω· Αἰολ. γνοέω) ἀμφιβάλλω, εἶμαι ἀβέβαιος, δὲν ἠμπορῶ ν' ἀποφασίσω· διστάζω, ἀπορῶ ἐνδοιάζω, εἶμαι εἰς δύω γνώμας· «ἀμφιγνοῶ μέν τοι, ὦ Πῶλε, ἓφ' ἑκάστοις, ὧν λέγεις.» Πλάτ. εἰς Γοργ. ὅηλ. ἀμφιβάλλω, διστάζω διὰ κάθε ἕνα ἀπὸ ὅσα λέγεις. 2) ἐνεργ. δὲν γνωρίζω καλῶς. Πλουτ. εἰς Πελοπ. «τῶν Σπαρτιατῶν ἀμφιγνοούντων τὸν τόπον.» ἀντὶ τοῦ εὖ ἐγνώριζαν καλῶς, καὶ Ξεν. Ἑλλ. ς'. b. «καὶ οἱ ἄλλοι πάντες, εἰ μήτις ἀμφιγνοηθεὶς διέφυγε.» ἀντὶ τοῦ ἀγνώριστος· ἀφ' οὗ

Ἀμφίγνοια· ἡ· τὸ ἀμφιγνοεῖν, τὸ νὰ εἶναι τις μὲ δύω γνώμας. Σχλ. Σφ. Αἰ. 2.

Ἀμφίγονος, ὁ· (γονὴ) προγονὸς, ἐκ προτέρας γυναικὸς ἢ ἐκ προτέρου ἀνδρὸς υἱός. Ἡσύχ.

Ἀμφιγυήεις, ήεντος, ήεσσα, ῆεν· ὁ κατ' ἄμφω τοὺς πόδας χωλός· ὁ κουτσὸς καὶ ἀπὸ τὰ δύο ποδάρια. Ἐπῶδ. τοῦ Ἡφαίστου. Ἰλ. Α. 607 «περικλυτὸς ἀμφιγυήεις Ἥφαιστος.» παρὰ τὸ γυιὸς, οὐχὶ δὲ παρὰ τὸ γυῖον.

Ἀμφίγυιος, καὶ Ἀμφίγυος, ὁ, ἡ· κυρίως ἑκατέρωθεν μέλη, ἢ εἰς ἑκάτερα τὰ ἄκρα (εἴπερ χέρας, πόδας), γόνατα ἔχων. Ὁ Ὅμηρ. χρῆται τῇ λέξει διὰ ὡς ἐπίθετ. τοῦ σώματος, ἴσως διότι πληγώνεται καὶ μὲ τὰς δύω ἅρπας, ἢ διότι εἶναι μὲ σίδηρον καὶ εἰς τὰς δύω ἄκρας, ἢ διότι τὸ ῥίχνουν καὶ μὲ τὰ δύω χέρια. Ἰλ. Ν. 147. «ἔγχεσιν ἀμφιγύοισιν.» τοῖς ἑκατέρωθεν γονυπετοῦσι, καὶ τὰ γυῖα βλάπτειν δυναμένοις· ὁ Σχολ. ὁρᾷ Εὐστάθ. 925. καὶ παρὰ Σοφοκλ. Τραχιν. 504. «ἐπὶ τάνδ' ἀρ' ἥκετε ἀμφίγυοι κατέβαν προ γάμου τινές,» ἀντὶ τοῦ, Ἀντίπαλοι, πολέμιοι, ὁ Σχολ. ἄλλοι δὲ ἑρμην. αὐτὸ διὰ τοῦ, Ἰσχυροὶ ἐν τοῖς γυίοις, ἀμφότεροι τετραχειρισμένοι, ἢ παρωξυμμένοι.

Ἀμφιγυόω, ῶ· Μ. ώσω· ἀκρωτηριάζω, κολοβόνω τι. Ἡσύχ. ἄνευ παραδείγμ.

Ἀμφιδαής, έος, ὁ, ἡ· δίστομος, δίκοπος. Σουίδ. ἄνευ παραδείγμ.

Ἀμφιδαίω· (δαίω ἀνάμ.) Παρ. ἀμφιδέδηα· ἀμεταβάτως περικαίω, ἀνάπτω, καίω ὀλόγυρα·

οὕτω χρῆται Ὅμ. τῇ λέξει κατὰ Παρνην. καὶ Τυρτυντ. Ἰλιάδ. Ζ, 329. ». . . πόλεμός τε ἅπαστι τόδ' ἀμφιδέδηεν καὶ Μ, 35, ὅτε δ' ἀμφὶ μάχη ἐνοπήτε δεδήει.« Μεταφορ. περικυκλόνω, περικαλύπτω Ἡσίοδ. Ἀσπ. 62. ». . . κόνις δέ σφ' ἀμφιδεδήει.«

Ἀμφιδάκνω. Μλ. δήξομαι· (δάκνω, ἀνμλ.) ἐγκάνω ὀλόγυρα. 2) ὑποφέρω σταθερῶς τὸν πόνον, κρύπτω τὸν πόνον τὸν ὁποῖον πάσχω.

Ἀμφιδάκρυτος, ὁ, ἡ· (δακρύω) τὸν ὁποῖον κλαίουσι πανταχόθεν, ἡ κατὰ πολλά. Εὐριπ. Φοίν. 332.

Ἀμφιδάμας, αντος, ὁ· ὄνμ. κύρ. παρ' Ὁμ. καὶ Ἡσιόδ.

Ἀμφίδασυς, ἄτεια, ατυ· (δασύς), ὁ πανταχόθεν δασύς, ἀμφίμαλλος· ὁ ἐξ ἀμφοτέρων τῶν μερῶν μαλλιαρός. Ἐπιστ. τῆς Αἰγίδος. Ἰλ. Ο. 369. ». . . ἔχε δ' αἰγίδα θοῦριν, δεινήν, ἀμφιδάσειαν·« ὅηλ. ἐξ ἑκατέρου μέρους κροσσοὺς ἔχουσαν· καθ' Ἡσυχ.

Ἀμφίδεα, τά, Ἀμφιδέαι, αἱ, καὶ Ἀμφίδες, αἱ· (δέω)· φύλλων, περισκελὴς, ἀκανθύλιον, καὶ πᾶν κόσμημα, ὅ,τι περὶ τὰς χεῖρας καὶ τὸν λαιμὸν καὶ τὰς κνήμας περιδένεται. Ἱπποκρ. Ἡρόδ. β', 70. »ἀμφιδέας περὶ τοὺς πόδας διδόντες.« Ἀρποκρ. »οὐ δυνάμενος δ' ἐκβαλεῖν διὰ τὸ ἀμφιδέας δεδέσθαι τὰς θύρας·« τὸ τουρκβ. οἱ ῥεζίδες δὲ ὧν στηρίζεται ἡ θύρα διὰ τὰ μὴ σκωλεύεται· καὶ Juven. 3, 304. καὶ ἐν Ἐπιγρ. Χαϋδλερ »ἀμφίδεα χρυσίδεα μικρά,« καὶ »ἀμφιδέαι χρυσαὶ πλεκταί.«

Ἀμφιδεής, ές, ὁ, ἡ· (δέος) ὁ κατὰ πολλά, ἡ πάντοθεν φοβούμενος, δειλός.

Ἀμφιδέμω, καὶ Ἀμφιδέμομαι, Μέσ. κτίζω, οἰκοδομῶ ὀλόγυρα. Ἰώσηπ. ς'. »τὸ ἱερὸν ἀμφεδέμαντο.«

Ἀμφιδέξιος, ὁ, ἡ· (δεξιός) δεξιὸς κατ' ἄμφω τὰς χεῖρας, ἀμφοτερόδεξιος. Πολυδ. »ἀμφιδέξιον λέγουσι, τὸν ταῖς ἀυσὶ χερσὶν ἐνεργοῦντα δεξιῶς·« ὅθεν, ὁ καταπολλὰ ἐπιδέξιος, ἐπιτήδειος· ὡς τὸ περιδέξιος ἀντιδέτως τῷ ἀμφαριστερός· παρ' Εὐρ. δέ, Ἱππλ. 7801 καὶ = δίστομος. »ἀμφιδέξιος σίδηρος,« ὁ ἀμφήκης, ἤτοι ὁ ἀμφοτέρωθεν τέμνων. Σοφκλ. ἀμφιδεξίοις ἀκμαῖς.« 2) δίπλευρος, δίμορφος, ἀμφίβολος, ἀτραφής. Λουκιαν. »ἀμφιδέξιον ἔπος,« τὸ ἑπαμφοτερίζον, τὸ ὁποῖον ἠμπορεῖ νὰ ἑληφθῇ κατὰ δύο τρόπους· καὶ Ἡρόδ. Ε'. 9'. »ἀμφιδέξιον χρηστήριον,« ὅηλ. μαντεῖον, τὸ μαντεῦον ἀμφίβολα πράγματα, τὰ ὁποῖα διττῶς ἐκλαμβάνονται. 3) = ἀμφότερος. Σφκ. Οἰδ. Τ, 1212. καὶ Οἰδ. Β. 1112.

Ἀμφίδεον, ου, τό, παρ' Ἱπποκρ. τὸ τοῦ στομίου τῆς μήτρας τὸ ἐν κύκλῳ ἄκρον, ὅπερ καὶ συκώδης χείλεσιν ἔοικε, κατὰ μεταφορὰν ἀπὸ τῶν γυναικείων ψελλίων ὠνομασμένον. Γαλην. Λέξ. Ἱπποκρ. ὁ δὲ Ἐρωτιανὸς, τὸ περιὸν τοῦ τῆς μήτρας τραχήλου, λέγει, ἐν Ἐπιγραφ. Χαϋδλερ. εὑρίσκεται. »Ἀμφίδεα χρυσίδια μικρά.« καὶ »Ἀμφιδέαι χρυσαὶ λεπταί.«

Ἀμφιδεξίως, Ἐπίρ. λίαν ἐπιτήδεια. Ἀθήν. ΙΕ', διὰ τὸ παίζειν ἀμφιδεξίως.«

Ἀμφιδέρκομαι, μέσ. ἀποθ. (δέρκομαι) βλέπω, κυτάζω ὀλόγυρα.

Ἀμφιδέτης, ὁ· (δέω) μέρος τι τῶν ζυγῶν βοῶν, τὸ ὁποῖον βάλλουσι περὶ τὸν λαιμὸν πλησίον εἰς τὸ ζυγόδεσμα (ἢ τὲς ζεύγλες) τὸν ὁποῖον ὁ Ἀρτεμ. ἑρμηνεύει διὰ τοῦ ἀμφιδέτης.

Ἀμφίδετος, ὁ, ἡ· (δέω) ἑκατέρωθεν δεδεμένος· στερρῶς δεδεμένος ὡς, »ἀμφιδέτους ἅλύσεις·« περιδεδεμένος, καθὼς π. χ. πέτρα ἀπὸ δακτυλίδι.

Ἀμφιδεύτατα, ἀναγινωσκόμενον παρὰ Ποδ. Ὀλύμπ. Α'. »ἀμφιδεύτατα κρεῶν« ὅπου ἤδη ἀμφιδεύματα κεῖται.

Ἀμφιδέω,. Μλ. δήσω (δέω) περιδέω, δένω ὀλόγυρα. Ἀπολ. Ἀργ. Β'. »ὠκὰ δ' ἱμάντας ἀμφίδεον.«

Ἀμφιδηριάομαι, ῶμαι· μεσ. ἀποθ. (ἐρίζω) μετὰ Δοτικ. τοῦ πρμτ. φιλονεικῶ, μαλόνω διὰ καλὲς πράγμ. Ἀναλεκτ. Α'. 128. καὶ Λυκόφρ. 1437.

Ἀμφιδήριτος, ὁ, ἡ, (ἐρίζομαι) ἐκεῖνος περὶ οὗ γίνεται φιλονεικία· ἀμφισβητήσιμος, ἀτελεστος, ἀμφίβολος. Θουκυδ. »ἀμφιδήριτος νίκη·« ὅηλ. νίκη, τῆς ὁποίας τὸ τέλος ἀκόμη δὲν ἐφάνη.

Ἀμφιδιαίνω· (διαίνω) περιβρέχω, περιὐγραίνω, ποιῶ τι διόλου ὑγρόν. Ἐπιγρ.

Ἀμφιδινεύω, καὶ Ἀμφιδινέω· (δινέω) περιστρέφω, στρεφογυρίζω τι εἰς ὅλους καὶ κύκλους· φέρω ἢ τραβῶ τι ἢ βάλλω ὀλόγυρα· χύνω ὁλόγυρα· καὶ Ἀμφιδινεύομαι, καὶ Ἀμφιδινέομαι· περιστρέφομαι. Ἰλ. Ψ. 562. »ἀμφιδεδίνηται χεῦμα κασσιτέροιο·« ὅηλ. ὑγρὸν κύκλῳ περικέχυται σ' κασσίτερος· καὶ Ὀδσ. Θ, 450. 2) περιέρχομαι εἰς κύκλον (– ∪ – ∪ –).

Ἀμφιδοκεύω· (δοκεύω) περιβλέπω, κυττάζω τριγύρω εἰς ὅλα τὰ μέρη, κατασκοπεύω, παραμονεύω.

Ἀμφιδοκέω. Ζήτ. Διαμφοδέω.

Ἀμφίδομος, ὁ, ἡ· (δέμω) ὁλόγυρα κτισμένος· κύκλῳ οἰκοδομημένος, κυκλικὴν οἰκοδομὴν ἔχων. Ὀππ.

Ἀμφιδονέω, ῶ. Μ. νήτω· (δονέω) συστρέφω, φέρω ὁλόγυρα, τριγυρίζω, κάμνω ἀστραλλαι, ἀστραλλίζω. »Ἔρως φρένας ἀμφεδόνησε.« Θεόκρ. 13, 48. Παρ' Ἀθην. δὲ, περιφορῶ, κάμνω κτύπον ὁλόγυρα. Ἐπιγρ.

Ἀμφιδοξέω, ῶ. Μ. ήτω· ἀμφιβάλλω, ἔχω δύο γνώμας· εἶμαι ἀμφίδοξος, ἀναποφάστιστος, »ἀμφιδεξοῦσι δικασταί·« δὲν ἀποφασίζουσι μήτε τὸ ἕνα, μήτε τὸ ἄλλο.

Ἀμφίδοξος, ὁ, ἡ· (δόξα) ἀμφίβολος, ὁ ἔχων δύο γνώμας· ἀμφιρρεπὴς, ἀναποφάστιστος. Πολύβ. »ἀλλ' ἀεὶπως ἀμφίδοξα τὰ τέλη τῶν κινδύνων ἀπέβαινε.« Ἀμφίδοξον, οὐσιατ. Θεόφρ. Αἰτ. Φ. Α'. »ὥστε ταῦτα μὲν ἐν ἀμφιδόξῳ,« ἀντὶ, ἐν ἀμφιβολίᾳ.

Ἀμφίδορος, ὁ, ἡ· (δέρω) ὁλόγυρα ἐξαρμένος. Ἐπιγρ. »σεῦτος ἀμφιδόρου στικτὸν ἀχαιεως· δέρμα ἐγλαρμένον ὁλοστρόγγυλα.

Ἀμφίδουλος, ὁ, ἡ· (δοῦλος) τοῦ ὁποίου ἄμφω οἱ γονεῖς εἶναι σκλάβοι· ὁ γεννηθεὶς ἀπὸ σκλάβους γονεῖς. Εὐστάθ.

Ἀμφίδοχμος, ου, ὁ· (δοχμὴ) τόσον μέγας, ὥστε περιλαμβάνεται μέσα εἰς τὴν χοῦφταν. Ξενοφ. Ἱπ. Δ'. 4. »λίθων στρογγύλων ἀμφιδόχμων·« ἄλλως δὲ καὶ χειροπληθὴς λέγεται.

Ἀμφιδρομοῦμαι, ὁ Μέλλ. Ἀόρ. β'. ἀμφέδραμον »πέλας λάβρον ἀμφέδραμε,« Πινδ. Πθ. γ'. 70.

Ἀμφιδρόμια, ων, τά, ἡ πέμπτη ἡμέρα ἀπὸ τῆς γεννήσεως τοῦ βρέφους, καθ' ἣν ἐτίθεσαν τῷ βρέφει τὸ ὄνομα· (ὡς παρὰ τοῖς χριστιανοῖς τὰ βαπτίσια λεγόμενα)· λέγεται δὲ οὕτως, ὅτι κατὰ ταύτην ἐκαθαρίζοντο αἱ Μαῖαι (μαμαὶ), καὶ περιέτρεχον ὁλόγυρα εἰς τὴν ἑστίαν μετὰ τοῦ βρέφους· ἐπρόσφερον δὲ καὶ ὧρα εἰς τὸ βρέφος οἱ φίλοι, καὶ ἁπλῶς οἱ συγγενεῖς. Πλάτ. Θεαίτ. σλ. 160. Ε. »μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ·« ἐκ τοῦ

Ἀμφίδρομος, ὁ, ἡ· (δραμεῖν), περιτρέχων· τρέχων ὁλόγυρα εἰς κύκλους, στρεφογυρίζων. Σοφοκλ. Αἴ. »κύμα φοινίας ὑπὲ ζάλης ἀμφίδρομον κυκλεῖται,« τὸ πάντοθεν περιτρέχον. 2) Παθητ. πάντοθεν περιτρεχόμενος, ὁλόγυρα εἰς τὸν ὁποῖον ἠμπορεῖ νὰ τρέχῃ τις· »ἀμφίδρομοι τεῖχοι.« Εὐστάθ. Παρὰ Στράβ. δέ, ἀντὶ ἀμφίδρομοι, τόποι, ἔνθα γίνονται αἱ παλίδρομαι· ὡς ὁ Σικελικὸς πορθμὸς, ὁ τῆς Εὐρίπου, κ. τ. τ.

Ἀμφίδρυπτος, ὁ, ἡ· καὶ Ἀμφιδρυφής, ές· καὶ Ἀμφίδρυφος, ὁ, ἡ· (δρύπτω) ζουγρανισμένος ὁλόγυρα, καταζουγρανισμένος, καταμαντωμένος· »λόχος ἀμφίδρυπτος·« ἢ σύζυγος, ἢ ὁποία ἔχει κατασχισμένον τὸ πρόσωπον· ἢ ἔχουσα κατασπαραγμένας, καταζουγρανισμένας ἀμφοτέρας τὰς παρειὰς (τὰ μάγουλα) διὰ μεγάλην λύπην. Ἰλ. Β. 700. καὶ Λ. 393. ἐν Ἐπιγρ. καὶ Φιλοστρ. καὶ Ἰλιάδ. Λ, 393. καὶ Ἡρόδ. 6, 77.

Ἀμφίδυμος, ου, ὁ· (ἀμφιδύομαι) ὁ ἔχων ἐξ ἑκατέρου μέρους ἢ πάντοθεν εἴσοδον, ἔμβασμα. Ὀδ. Δ. 847. ». . . λιμένες ἀμφίδυμοι·« καὶ Ἀπολ. Ἀργ. Α'. »ἀμφίδυμοι ἀκταί·« ἢ ἀμφοτέρωθεν ἐπιτηδείως πρὸς ὅρμον ἔχουσαι· ἤγουν, ὅπου ἠμπορεῖ καὶ ἀπὸ τὰ δύο μέρη νὰ ἀρχίσῃ κανεὶς· παρὰ τοῖς μεταγεωτ. δέ, δισσοὶ (διπλοῖ) ὥστε τὸ — δυμος εἶναι ἐπιθετικὴ μόνη κατάληξις ὡς ἐν τῷ εὔδυμος, τρίδυμος κ. τ. τ. Ὀππ.

Ἀμφιδύω, Μ. ύσω· (δύω) περιβάλλω, ἐνδύω, μέσ. ἀμφιδύομαι· ἐνδύομαι »κείνου πάριδιν ἀμφιδύσεται χροΐ.« Σοφοκλ. Τραχ. 605. (τὸ υ, ἐν μὲν τῷ Μελ. μακρὸν, ἐν τῷ ἐνεστ. δέ, δίχρονον).

Ἀμφιέζομαι· μέσ. ἀποθ. (ἕζομαι, ἀνμλ.) κάθεμαι ὁλόγυρα.

Ἀμφιέζω = ἀμφιόνυμι. Πλτχ. Γ. Γράκ. 2.

Ἀμφίεκτον, τό· ὡς ἔγγιστα τοῦ Ἡμιέκτου, καὶ τοῦ Ἀμφορέως. Θεμίστ. Β'. εἶδος μέτρου, ἴτως τὸ ἕκτον μέρος τοῦ διπλοῦ Ἀμφορέως, ἄρα τὸ δωδεκατημόριον μέτρου αὐτοῦ.

Ἀμφιέλικτος, ὁ, ἡ· (ἑλίσσω) περιστρεφόμενος καὶ εἰς κύκλους στρεφογυριζόμενος· ὡς, »ἀμφιέλικτος τροχός·« καὶ »ἀμφιέλικτος σελήνη.«

Ἀμφιέλιξ, ικος, ὁ, ἡ· = ἀμφιέλικτος. Παῦλ. Σιλ. Ἀμβ. 108.

Ἀμφιελίσσω, α, ον· (ἑλίσσω) ἑκατέρωθεν πρόσω ἐλαυνόμενος, κινούμενος, ἢ εὐθυνόμενος· παρ' Ὅμ. παντοῖος ἐπίστ. τῶν πλοίων, Ἰλ. Β. 165. »Μετὰ δὲ νῆας ἄλαδ' ἐλάσσεν ἀμφιελίσσας·« τὰς ἀμφοτέρωθεν καμπὰς ἐλαυνούσας· τινὲς ὅμως ἑρμηνεύουσι τὴν λέξιν, ἀμφοτέρωθεν κυρτὰς, σημαίνουσαι, ὡς καὶ τὸ παρ' Εὐριπ. Κύκλ. 15. »πάμφορε σόρα·« τὰς ἐξ ἀμφοτέρων τῶν μερῶν καμπυλας καὶ κυρτὰς νῆας, ἐπειδὴ ἡ Πρῷρα καὶ ἡ Πρύμνα, ὡς καὶ τὸ Κορωνὶς. 2) τροπικῶς ἐλαυνόμενος· ῥέουσας, ἀμελὴς, διχογνώμων, ἀμφίβολος. Ἀναλέκτ. Β'. σελ. 457. »ἀμφιελ. μετοιμή·« ἀμφιῤῥεπὴς, ἀμφίβολον πεύμα· καθὼς π. χ. ὅταν κυρευθῇ ἀπὸ στοχασμούς, καὶ δὲν ἠξεύρῃτι ν' ἀποφασίσῃ.

Ἀμφιελίσσω. Μ. ίξω. (ἑλίσσω) περιτυλίγω, περιστρέφω. Διονύσ. Ἁλιε.

Ἀμφίεμαι· ἴδε Ἀμφιέννυμαι. Πολυδ.

Ἀμφιέννυμι· καὶ Ἀμφιεννύω. Μ. έσω. Ἀττ. ἀμφιῶ· ἀόριστ. ἠμφίεσα· ποιητ. ἀμφίεσσα· (ἔννυμι, ἀνμλ.) ἐνδύω, φορέω, περιβάλλω. Ὀδυσ. Σ. »εἵματά τε ἀμφιέσσε,« Μέσ. Ἀμφιέννυμαι ἀόρ. ἠμφιεσάμην. Ὅμ. ἀμφιέσαντο. Πρτκτ. ἀμφιέσασθε· ἐν Ὀδυσ. πάμφ. εἵματα, χιτῶνας.« Παρεμ. πάσκτ. ἠμφίεσμαι, ἀπανωτέρω ἀμφιείμαι· παρὰ τοῖς Λογογρ. χρησιμώτερον τοῦ ἁπλοῦ.

Ἀμφιέπω, καὶ Ἀμφέπω· (λέξις ἣν χρήσει εἰς τοὺς Ποιητὰς, ἥτις ἐστὶ ἰσοδύναμος μὲ τὴν λογογραφικὴν Περιέπω· μετὰ Λιτοτητ. καὶ σημαίνει, τὸ, Περιβάλλω, περιφράττω. Εἶμαι ἢ ἵσταμαι ὁλόγυρα τινός, περικυκλόνω· μτά-

στην τρίπεζες πῶρ ἀμφεπε.« Ὅμ. Ἴδεν 2) Ματαγίνομαι, ἐναπχολοῦμαι περί τι· ἔχω ἀνὰ χεῖρας· ἐνεργῶ εἰς τι. Ἑτοιμάζω, φροντίζω, ἐπιμελοῦμαι· ἐπιστατῶ, περιποιοῦμαι, θεραπεύω, ὑπηρετῶ, δουλεύω· τιμῶ· Ὀδυσ. Θ'. 61. »βοῦς ἄρον ἀμφίτε ἕπου·« καὶ Ἰλιάδ. Ω. 804. »ἀμφέπον τάφον Ἕκτορος.« ἠσχολοῦντο, περιεῖπον. Ἀπολλ. Ἀργ. Α'. 562. »ἠηδάλιον ἀμφιέπεσκεν·« ἐκράτει, ἀνὰ χεῖρας εἶχεν. »τιμαὶς ἀμφ.« Πινδ. ἔτι δὲ καὶ ἄνευ τοῦ, τιμαῖς, Πινδ. Ἡ δὲ μετοχὴ κεῖται καὶ ἀπολύτως »ἵππους ἀμφιέποντες ἐζεύγνυτον.« Ἰλιάδ. Τ, 392. παράβλ. καὶ Ε, 667. καὶ Ὀδυσ. Γ, 118. 3) Ἐχθρικῶς δὲ ἐκλαμβανόμενον, κεῖται ἀντὶ τοῦ, βλαπτικῶς ἐνεργῶ, καταδιώκω, καταπρέχω τινά, βιάζω, θλίβω, στενοχωρῶ. Κοϊντ. Σμυρ. ὁ Ὅμ. χρῆται μόνον τῷ μετ. ἀμφιπόντι καὶ ἀμφίεπον· τῷ μέσῳ δὲ, ἐν ταύτῃ τῇ συνδέσει, οὐδαμοῦ παρὰ τοῖς Παξιγρ. δὲ, χρησιμώτερον τὸ περιέπω.

Ἀμφίεργος, ὁ, ἡ· (ἔργον) δουλευμένος καὶ ἀπὸ τὰ δύο μέρη. Θεόφρ. αἰτ. φ. Γ'. 28. »μηδ' ἠμβροχῆ, καὶ ἡμίειλον, ἣν δὴ καλοῦσι τινὲς ἀμφίεργον·« ἢ ἐκατέρωθεν δουλευμένη γῆ, ἢ ἡ ἐξ ἡμιτείας βρεγμένη, καὶ ἡ ἄλλη ξηρά.

Ἀμφιέρχομαι· ἰδὲ ἀμφέρχομαι. Ὀδυσ. Ζ, 122, Μ, 389. πάμφιελθεῖν, ἀμφηλυθε.«

Ἀμφίεσμα, τος, τὸ· (ἀμφιέννυμι) ἔνδυμα, φόρεμα, σκέπασμα. Πλατ. Πολ. Β'. »τκεύη καὶ ἀμφιέσματα.« Διοσκ. »ἀμφίεσμα,« τὸ περικάλυμμα, σκέπασμα τῶν καρπῶν, ἢ φλοῦδα, τὸ ἐξώφλοιον· καὶ τὸ κρυσταλοειδὲς τοῦ ὀφθαλμοῦ κάλυμμα.

Ἀμφίεσις = ἀμφίεσμα.

Ἀμφιεστρίς, δος, ἡ· μικρὸν ἐπανωφόρι, νυκτινὸν φόρεμα.

Ἀμφιεταζόμαι· ἐτυμολ. γεγραμ. ὡς φαίνεται· ἀντὶ ἀμφιετέομαι. Στρ. Θεσ. 1, σλ. 1292.

Ἀμφιετεί, = Ἀμφίετες, οὐδέτερ. ἐκ τοῦ Ἀμφιετής. Ἐπίρ. χρονικῶς, κατ' ἔτος. Εὐσταθ. Ὀδ. Α. σελ. 1385.

Ἀμφιετέομαι, ἐν σπανιωτέρᾳ χρήσει ἀντὶ τοῦ ἀμφιετίζομαι.

Ἀμφίετες = Ἀμφιετεί. Π. Μοιρ. σλ. 45. »τὸ γὰρ κατ' ἐνιαυτὸν ἀμφίετες λέγεται.«

Ἀμφιετέω, ῶ, Συνίζ. κατ' ἔτος. Ἐτυμολ.

Ἀμφιετηρίς, δος, ἡ· (ἔτος) ἡ κατ' ἔτος ἑορτή· ὡς καὶ τὸ, τριετηρίς.

Ἀμφιέτηρος, ὁ, ἡ· (ἔτος) = ἀμφιετής. Ὀρφ. Τιμ. νά. 10.

Ἀμφιετής, έος, ὁ, ἡ· χρονικός, ἐτήσιος. Ὀρφ. ΝΒ'. 1. καὶ Λεξ. σελ. 409. »πάντην ἐν ὥραις ἀμφιέτην·« καὶ Ἀμφίετες. Ἐπίρ. χρονικῶς. Μοίρ. Ἀττικ. »τὸ γὰρ κατ' ἐνιαυτὸν ἀμφίετες λέγεται.«

Ἀμφιετίζομαι. παθτ. (ἔτος) Μ. ἰσομαι. ἐπανέρχομαι καθ' ἕκαστον ἔτος (ξανέρχομαι κάθε χρόνο), ἐπὶ ἑορτῶν, θυσιῶν, ἢ καιρῶν τοῦ ἔτους. Ἐτυμολ. ὅπου ἔτι καὶ ἀμφιετεῖσθαι, εὑρίσκεται.

Ἀμφιέχω. Μ. ἐξω· περιέχω, περικυκλώνω, κατακυριεύω· κρατῶ παντοχόθεν.

Ἀμφιζάνω· (ἰζάνω) κάθημαι, ἐπίτι κύκλῳ κρυσταλλοῦμαι. Ἰλ. Σ. 25. »Νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τάφρη.«

Ἀμφίζευκτος, ὁ, ἡ· (ζεύγνυμι) ἐκατέρωθεν ἐζευγμένος, δεδεμένος εἰς τὸν ζυγὸν· ἢ περιεζωσμένος, περικυκλωμένος, ἡνιωμένος. 2) ἐνεργ. ὁστις συνδέει, περιζώνει, περικλείει. Αἰσχύλ. Περσ. 130.

Ἀμφιήκης, εος, ὁ, ἡ. Ζήτ. Ἀμφήκης.

Ἀμφιζέω. Μλ. ἐσω· (ζέω) βράζω ὁλόγυρα, ἀναβράζω.

Ἀμφίζωστος, ὁ, ἡ (ζώννυμι) περιεζωσμένος.

Ἀμφιθάλαμος, ὁ, ἡ· (θάλαμος) ἑκατέρωθεν ἔχων θαλάμους, ἤτοι δωμάτια.

Ἀμφιθάλαστος, καὶ αττκ. ἀμφιθάλαττος, ὁ, ἡ = Ἀμφίαλος· ἑκατέρωθεν, ἢ παντοχόθεν, ἔχων θάλασσαν. Πινδ. καὶ Συρ.

Ἀμφιθαλής, έος, ὁ ἡ· (θάλλω) κυρίως, ὅποιος θάλλει, ἀνθεῖ, ἀπὸ τὰ δύο μέρη· ἐξαιρέτως προσηγορεύοντο οὕτω τὰ τέκνα, τὰ ὁποῖα εἶχαν ζῶντας ἀμφοτέρους τοὺς γονεῖς των. Ἰλ. Χ. 496. »Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐν ἑαυτοῦ ἐστυφέλιξε·« ὁ κατ' ἀμφοτέρους τοὺς γονεῖς θάλλων· ἤτοι ὁ ἔχων ἀμφοτέρους τοὺς γονεῖς· ὁ Σχολ. καὶ Ἡσυχ. 1, σλ. 300, ὑπὸ Albin. καὶ Ἡλιόδ. Αἰθ. Α'. 22. »Ἐφεσίων τὰ πρῶτα γεγονότες, καὶ ἀμφιθαλεῖς ὄντες,« ὅηλ. ἔχοντες ζῶντας καὶ τοὺς δύο γονεῖς. 2) καὶ ἐπὶ εὐτυχοῦς κατασκευῆς· ἄφθονος, πλουτιοπάροχος, ὁ ἀμφόνως μεταχειριζόμενός τι, πλούσιος, εὐτυχής. πάμφιθαλὴς ἀληθείας.« Τιμ. σλ. 28. ὑπὸ Ruhnk. πλήρης, τελεία ἀλήθεια· παρ' Αἰσχύλ. Ἀγ. 1376. δὲ, πάμπ. κακοῖς.«

Ἀμφιθάλλω· Μ. λῶ. ὁ Παρακ. ἐν Ἐντετ. σημασ. Παρ. ἀμφιτέθηλα· (θάλλω) ἀνθῶ ἑκατέρωθεν, ἢ παντοχόθεν. Ἐπιγρ. πάμφιτέθηλε χάρις.«

Ἀμφιθάλπω· (θάλπω) περιθερμαίνω· θερμαίνω ἀπὸ ὅλα τὰ μέρη, ἢ κατὰ πολλά· καὶ, ἐπιμελοῦμαι, περιποιοῦμαι πολύ.

Ἀμφιθέα, ας. Ἐπ. Ἀμφιθέη, ἡ· κύρ. Ὅμ. ἐν Ὀδυσ. Τ, 416.

Ἀμφιθέατρον, ου, τὸ· (θεάομαι) τόπος, ἐν τῷ ὁποίῳ δύναται ὁ ἄνθρωπος νὰ βλέπῃ παντοχόθεν ἀπὸ ὁμαλοειδῶς ἐξῆς ἀλλήλων προκλινῶν ὑψωμάτων· ἐξαιρέτως ἐκκλησίαι (τόποι εὐρύχωροι, εἰς τοὺς ὁποίους ἐσυνάζετο ὁ λαὸς διὰ κοινὰς ὑποθέσεις) καὶ θέατρα· ἔτι δὲ καὶ ἐπιθετικῶς, ὁ, ἡ· τόπος, ἔχων σχῆμα Ἀμφιθεάτρου. Διονύσ. Ἀλ. Δ'. »Ἱππόδρομος ἀμφιθέατρος.«

Ἀμφιθέτης, ου, ὁ· παρ' Ἀρτεμ. Β'. 24. μέρος τι τοῦ βοείου ζυγοῦ, ἐγγὺς τοῦ ζυγοδέσμου· ἂν δὲν πρέπῃ νὰ ἀναγνωσθῇ Ἀμφιδέτης.

Ἀμφίθετος, ὁ, ἡ· (τίθημι) θεμέλιος ὁλόγυρα, Ἰλ. Ψ. 616. »Ἀμφίθετος φιάλη·« ἤγουν, ἡ ἑκατέρωθεν τιθεσθαι δυναμένη καὶ κατὰ πυθμένα καὶ κατὰ τὸ στόμιον· ἐπειδὴ καὶ ἡ βάσις αὐτῆς καὶ τὸ στόμιον εἶναι πλατὺ καὶ μέσον τὸ μέσον γαστροειδές· παράβλ. ἀμφικύπελλος Κατ' Εὐσταθ. δὲ, ὡς ἀμφιφορεύς· δύο λαβὰς ἔχουσα ἤτοι χερουλία. ἰδὲ Εὐσταθ. 1299. καὶ Ἀθήν. ΙΑ, σελ. 501.

Ἀμφιθέω. Μ. θεύσομαι. (θέω, ἀνμλ.) περιτρέχω· τρέχω κυκλικῶς, ὁλόγυρα· »ἀμφιθέουσι τέρας.« Ὀδυσ. Κ, 413. 2) ἀματαβ. περιφέρομαι, περιπλανῶμαι·« νόος ἀμφιθέει·« Μτχ.

Ἀμφιθήγης, ὁ, ἡ = τῷ ἑξῆς.

Ἀμφιθήκτος, ὁ, ἡ· (θήγω) ὁ ἑκατέρωθεν ἠκονημένος· (μὲ δύο κόψες) = Ἀμφήκης. Σοφοκλ. Ἀντ. 1309.

Ἀμφιθλάσις, εως, ἡ· θλάσις, σφίξιμον ἢ ζούλιγμα, ῥάϊσμα γινόμενον εἰς ὅλα τὰ μέρη. Ἀρετ. Α'. 6. »ὀδυνηρὸν γὰρ τῆς συκῆς ἡ ἀμφιθλασις.«

Ἀμφιθλάω. Μ. ἀσω· (θλάω) συντρίβω, ζουλίζω, ῥαΐζω τι παντοχόθεν· καὶ Ἀμφιθλάομαι, ωμαι. Παθ. Ἀρετ. Α'. 7. καὶ τῶν μήλων σάρκες ἀμφιθλασθεῖσαι.« (ασω).

Ἀμφιθόη, ἡ· Νηρηίδος τινος ὄνομ. Ἰλιάδ. Σ, 42.

Ἀμφιθορεῖν. Μτχ. ἀμφιθορών· πηδῶν χορεύω ὁλόγυρα ἀπὸ ὅλα τὰ μέρη. Ἀορστ. β', τοῦ ἀμφιθρώσκω. Ἀπολ. Ἀργ. Γ'. 1372.

Ἀμφίθρεπτος, ὁ, ἡ· (τρέφω) Σοφοκλ. Τραχ. 572. καίμα ἀμφίθρεπτον τῶν ἐμῶν σφαγίων,« ἀντὶ, τρεφόμενον ἀμφὶ τὰς ἐμὰς σφαγάς· ἤτοι συγγενὲς περὶ τὰς σφαγάς.

Ἀμφίθρυπτος, ὁ, ἡ· (θρύπτω) ἑκατέρωθεν, ἢ κύκλῳθεν ζουλιγμένος, συντετριμμένος. Ἀρετ. Β'. 4. 2) ἐνεργ. παντοχόθεν συντρίβων, συνθλῶν.

Ἀμφίθυρος, ὁ, ἡ· τὸ· (θύρα) ἑκατέρωθεν ἔχων θύρας. Λυσίας. »Ἀμφίθυρος οἰκία,« ἢ ἔχουσα δύο θύρας· καὶ Θεόκρ. »ἐπὶ δὲ ἀμφιθύρου καὶ δικλίδος·« ἀντικρὺ τοῦ οἴκου τοῦ δευτέρου, ὁ Σχολ. καὶ Σχκ. Φιλ. 159. »οἶκον μὲν ὁρᾷς τὸν δ' ἀμφίθυρον πετρίνης κοίτης.«

Ἀμφιίστημι· ἰδὲ ἀμφίστημι.

Ἀμφικαλύπτω. Μ. ψω· (καλύπτω) περιτυλίσσω, περικαλύπτω, παντοθεν σκεπάζω τι. Ἰλ. Β. »χλαίναν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδὼ ἀμφικαλύπτει·« ἐξαιρ. μὲ φορέματα· ἐπὶ δὲ σωροῦ, ἢ νεκροθήκης. πάμφιτ· ὀστέα.« Ἰλιάδ. Ψ, 91. ἐγκλείει, περιέχει ἐν ἑαυτῇ, ἐμπεριέχει· οὕτω καὶ πέπλον πόλις ἀμφικαλύψη δευράτεον μέγαν ἵππον. »Ὀδυσ. Θ, 511. καὶ »δὸξ' ἐὸς δόμος ἀμφεκάλυφεν κεῖσέ με νοστήσαντα». Ο, 118. Ἔτι δὲ καὶ κατὰ διαφόρους μεταφοράς. »Ἔρως ἀμφικ. με φρένας« ὅηλ. ἐσωστικ.« Θανάτου νέφος μιν, ἢ θάνατος« περιεκύλωσε, κατεκάλυψε, κατὰ ὅσον συνεστάλησαν. Ἰλιάδ. Γ, 442. Ε, 68. Λ, 356. Π. 350. Παρβλ. Μ, 116. Ὀδυσ. Ε, 493. 2) ἀμφικ. τινί τι· σκεπάζω, προφυλάττω, ἐσεν· πάμφικ. σάκος τινὶ περισκεπάζω μὲ τὴν ἀσπίδαν νύκτα μάχη· ἐπικαλύπτω, ἐπιστεγάζω. »Ὄρος πόλει ἀμφ.« πυργόω ἢ σωρεύω βουνὸν ὡς πύργον ὁλόγυρα. Ἰλιάδ. Θ, 331. Ε. 506. Ὀδυσ. Ν, 158. 177.

Ἀμφικάρηνος, ὁ, ἡ· ὡς ἡ Τῆρκ. (κάρηνον) ὁ ἑκατέρωθεν ἔχων κεφαλήν, δικέφαλος.

Ἀμφικαρής, ὁ, ἡ (κάρη) = τῷ προηγουμ. Νίκανδρ. Θηρ. »πάμφικαρὴς σκολόπενδρα·« παρ' Ὁμήρ. ἐν Ὀδ. Ρ. 231. τινὲς δὲ οὐχ ὑγιῶς ἀνεγνώσκ. πάμφικαρῆ σφέλαν ὡς καὶ ἄλλοι διεστραμένως· ὡς ἐν Ὀδ. Σ. 333. »πάμφι κάρη.«

Ἀμφίκαρπος, ὁ, ἡ· (καρπὸς) καρπούς ἑκατέρωθεν ἔχων, ἢ φέρων· καὶ ἀπὸ τὰ δύο μέρη μὲ καρπούς.

Ἀμφίκαυσις, εως, ἡ· ἡ Ἀμφίκαυστις (καίω)· μὴ τελείως ὡρισμένη κρίσις· τὸ μὴ ἀκόμη καλῶς ψησμένον κρέμασι, τὸ ὁποῖον ψήνουσι (καφαλίζουσι) καὶ ἔπειτα κατασκευάζουσι τὰ Ἄλφιτα· ἢ κοινῶς Ψάϊνη καὶ Μπουρβέλα λεγομένη. Σχολ. Ἀριστοφ. Ἱππ. 1233.

Ἀμφικαίζω. Μ. ἀσω. Ἰωνικ. αττω· (καίζω) περισχίζω, περικοπτω εἰς δύο· κόπτω καὶ ἀπὸ τὰ δύο μέρη· ξεφλουδίζω. Ὀδ. Ξ. 12. »τὸ μέλαν ὀρυὸς ἀμφεκάσσας.«

Ἀμφίκειμαι· (κεῖμαι) περίκειμαι, κεῖτομαι ἐλόγυρα. Πίνδ. Λεξ. »πάμφίκειται δεσμὸς ὑπερφίαλος.«

Ἀμφικείρω. Μ. κερῶ· (κείρω) περικείρω, ψαλιδίζω, κουρεύω ὁλόγυρα. Τὸ Παθ. Ἀμφεκείρομαι. Ἐπιγρ. πάμφεκαρη.«

Ἀμφικέλευθος, ὁ, ἡ· ὁ Ἡσύχ. καὶ ὁ Ἐτυμολ. ἑρμηνεύουσι τοῦτο διὰ τοῦ, Ἰσθμικὸς, ἀμφίβιος, ἀμφίβολος, ἀμφοτέρωθεν ἐκέλλων, ἤτοι στηριζόμενος· φαίνεται δὲ ὅτι ἐπὶ Δίφρου λέγεται· τοῦτο δὲ φαίνεται νὰ εἶναι συγγενὲς τὸ, Ἀμφικέλαινος, ἢ κατ' ὄμων ἱσόρροπος, περιφέρμασι καὶ, Ἀκέλευτος· οὐ βεβηκὼς ἀσφαλῶς· οἱ δὲ, τὸν σκληρὸν στέφανον σημαίνει· Σέλευτος.

Ἀμφικέλευστος, ὁ, ἡ· (κέλευστος) μεταξὺ δύο ὁδῶν κείμενος, ἑκατέρωθεν προσβατός. Ἐπιγρ. πάμφικέλευστος τάφος.« τάφος ἀνάμεσα εἰς δυὸ στράτες.

Ἀμφίκερως, ὁ, ἡ· ων, τὸ· γεν. ω (κέρας) μὲ δυὸ κέρατα, καὶ εἰς τὰ δυὸ μέρη μὲ κέρατα.

Ἀμφίκελος· παρ' Ἡσυχ. »πάμφικελος ὑλίνη,« ἢ ἑκατέρωθεν ἔχουσα ἀνακλωντῆρας, προσκεφάλαιον.

Ἀμφίκερος· ὁ, ἡ· (κέρας, κερκὶς). Κοϊντ. Σμυρ. ΙΔ'. 498. »οὐδ' ἄρα λαὶψη ἑοῦσιν ἀμ-

φίκερας· δηλ. τὰ παιδί, τὰ ὁποῖα ἦταν ἁπλωμένα εἰς τὰ δύο ἄκρα τῆς κεφαλῆς (αἰτάνες).

Ἀμφικεύθω. Μ. εὔσω. (κεύθω) περιτειχίζω, περικαλύπτω, περικρύπτω, ἐπιμελῶς κρύπτω.

Ἀμφικέφαλος, ὁ, ἡ· (κεφαλὴ) δύο κεφαλὰς ἔχων. Πολυδ. Γ. 36. ἀμφικέφαλος καθέδρα· ἡ ἑκατέρωθεν ἔχουσα ἀναπαυτήριον, ἀκουμβιστήριον, ἢ προσκεφάλαιον· ἔστι δὲ καὶ Ἀμφικέφαλος, ἀνέγνωσ. ἐκ τοῦ, κεφάλων, γλάφαλον.

Ἀμφικινύρομαι· μέσ. ἀποβ. (κινύρομαι) περιέρχομαι παντοῦ ὀδυρόμενος, ὀλολύζων· οἰμώζω, θρηνῶ μεγαλοφώνως καὶ ἀκαταπαύστως. (–υυ–υ–)

Ἀμφικίων, ονος, ὁ· ἡ (κίων) ὀλόγυρα, ἀπὸ ὅλα τὰ μέρη μὲ στύλους· περιτριγυρισμένος ἀπὸ στύλους ἢ Ἰταλ. κολόνας· ὡς τὸ, περίστυλος. Σοφοκλ. Αἰτιγ. 285. ὑλαμφικίονες ναοίν. (–υ––)

Ἀμφίκλαυτος = ἀμφίκλαυστος.

Ἀμφικλάω. Μλ. ἄσω· (κλάω) συνθλῶ, καταθλῶ, (κατακεζακίζω) ὀλόγυρα (ᾳ).

Ἀμφικλος, ὁ· κύρ. Οἰκ. Τρωάς τινες. Ἰλιάδ.

Ἀμφίκλαστος, ὁ, ἡ· (κλάω) ὁ ἑκατέρωθεν, ἢ παντοχόθεν κεκλασμένος (κατατζακισμένος)· ὡς, κλεῖσον ἀμφίκλαστον· παρὰ Σουϊδ.

Ἀμφίκλαυστος, ὁ, ἡ· (κλαίω)· παντοῦ κλαμένος, τὸν ὁποῖον κλαίουσιν εἰς ὅλα τὰ μέρη κατὰ πολλὰ ἢ μεγαλοφώνως.

Ἀμφικλύζω. Μ. ὑσω· (κλύζω) πλημμυρίζω ὀλόγυρα, χτυπῶ μὲ κύματα ἀπὸ ὅλα τὰ μέρη.

Ἀμφίκλυστος, ὁ, ἡ· παντοχόθεν ἢ ὀλόγυρα παντοῦ πλημμυρισμένος, ἢ ἀπὸ τὰ κύματα κτυπούμενος. Σοφοκλ. Τραχιν. πρὸς ἀμφίκλυστον ἐκ πάντου πέτραιν· τὴν ἐκ τοῦ παντὸς ἀμφοτέρωθεν κλυζομένην· ὁ Σχολ.

Ἀμφικνέφαλος, ὁ, ἡ· παρὰ Πολυδ. ἀμφικνέφαλος κλίνη. Ζήτ. Ἀμφικέφαλος.

Ἀμφικνεφὴς, ἐος, ὁ, ἡ· (κνέφας) ἑκατέρωθεν, ἢ παντοχόθεν περικυκλωμένος ἀπὸ νέφη· κατασυννεφιασμένος· ἢ τριγύρω, γύρω σκοτεινός.

Ἀμφίκοιλος, ὁ, ἡ· (κοῖλος) βαθουλός· ὁλόγυρα κοῖλος, βαθουλωμένος. Σουϊδ. ἀμφίκοιλον ξύλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι· ἢ κάλλιον, ἀμφίκυρτον.

Ἀμφίκολλος, ὁ, ἡ· (κολλάω) ὁλόγυρα ἢ παντοχόθεν κολλημένος. Ζήτ. Παράκολλος.

Ἀμφικομέω, ῶ· (κομέω) παντοχόθεν φροντίζω, ἐπιμελοῦμαι, περιποιοῦμαι. Ἀνάλεκτ. Β. σελ. 179.

Ἀμφίκομος, ὁ, ἡ· (κόμη) πάνσοθεν κομῶν· ὁ ἔχων πολλὴν καὶ καλὴν κόμην (μαλλιά)· καὶ ἐπὶ φυτῶν· πολύφυλλος, μὲ πολλὰ φύλλα. Ἰλ. Ρ. 677. ἀμφὶ δ' ὑπ' ἀμφικόμῳ κατακείμενος, ἤτοι ἑρμηνεύει ὁ Εὐστάθ. δασείᾳ θάμνῳ, ὡς πάντοθεν κομῶντα· τὴν δὲ τοιαύτην οἱ Ῥήτορες καὶ Ἀμφιλαφῆ λέγουσιν. Ζήτ. Κόμη.

Ἀμφίκοπος, ὁ, ἡ· (κόπτω) ἑκατέρωθεν κόπτων· ὡς, ἀμφίκοπον ξίφος, τὸ ἀμφίστομον, δίστομον (μὲ δύο κόψεις) Εὐστάθ. 1531.

Ἀμφίκουρος, ὁ, ἡ· ὁ μεταίος τριῶν ἀδελφῶν. Σουϊδ.

Ἀμφίκουρος, ὁ, ἡ· = Περίκουρος.

Ἀμφικραδαίνω· καὶ Ἀμφικραδάω· περιστρέφω, περισείω, περιελίσσω.

Ἀμφίκρανος, ὁ, ἡ· (κρανὸν) = Ἀμφικάρηνος. Εὐριπ. Ἡρακλ. 1274. ἠτὲ τ' ἀμφίκρανον καὶ παλιμβλαστὴ κύσα ὕδρα φονεύσαις.

Ἀμφικρέμαμαι. Μ. ἀτομαι· παθητ. (κρεμάννυμι) κρέμαμαι τριγύρω, κιντοῦμαι εἰς τὸν ἀέρα, κλυδοῦμαι ὀλόγυρα, κλονίζομαι. Πινδ. Ἴσθμ. Β'. 63. «Θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες»· ἀφ' οὗ

Ἀμφικρεμὴς, ὁ, ἡ· κρεμάμενος, ἢ κινούμενος εἰς τὸν ἀέρα ὁλόγυρα. Ἐπιγρ. «ἀμφικρεμῆ ὤμων φαρέτρην».

Ἀμφίκρημνος, ὁ, ἡ· (κρημνὸς) ὁλόγυρα, ἢ ἀπὸ τὰ δύο μέρη κρημνώδης, περικυκλωμένος ἀπὸ ἀποτόμους κρημνούς. Εὐριπ. Βάκχ. 1049. «ἀμφίκρημνον ἄγγος». 2) τροπ. κατηφορικὸς· σφαλερός, κινδυνώδης, ὀλισθηρός· «ἀμφίκρημνος ἀπάτη»· ἢ ὁποία ῥίπτει τὸν ἄνθρωπον εἰς ἔσχατον δυστυχίαν. Λουκιαν. καὶ, «ἀμφίκρ. ἐρύτημα» δηλονότι ὄλισθον, σοφιστικόν, ἐπαίνδυνον.

Ἀμφίκρηνος, ὁ, ἡ· Ἰων. ἀντὶ ἀμφίκρανος 2) τὴν κεφαλὴν περικαλύπτων· ὡς, «ἀμφίκρηνος πῖλος».

Ἀμφικτίονες, νων, οἱ· (κτίζω) περιοικοῦντες, γείτονες· πρόσοικοι, πρόσχωροι· ἔτι δὲ καὶ περικτίονες. Ἀνδροτίων παρὰ Παυσαν. Γ'. Ἡρόδ. 8, 104. «ἅπασιν τοῖσι ἀμφικτίοσι πᾶσι τοῖσι ἀμφὶ ταύτην οἰκέουσι τὴν πόλιον» καὶ Πίνδαρ. Νέμ. ς'. 60. ὑπὸ Boeckh.

Ἀμφικτύονες, νων, οἱ· οἱ ἀπεσταλμένοι τῶν Ἑλληνικῶν πολιτειῶν, περὶ τῶν πολιτικῶν καὶ τῶν περὶ τὴν θρησκείαν των πραγμάτων, εἰς τὴν συμμαχικὴν συνέλευσιν ἥτις ἐγίνετο εἰς τὰς Θερμοπύλας· ἡ Ἀμφικτυονὶα συμμαχία, οὕτως ὀνομασθεῖσα ἀπὸ Ἀμφικτύονος υἱοῦ τοῦ Δευκαλίωνος, καὶ ἀδελφοῦ τοῦ Ἕλληνος· πιθανώτερον δὲ φαίνεται ὅτι ἐξ ἀρχῆς ὠνομάζοντο ἀμφικτίονες, καὶ ἐπομένως προύτίμησαν τὸ νὰ γράφωνται Ἀμφικτύονες διὰ τὴν σημασίαν τῆς λέξεως ταύτης· (ἰδὲ Ruhnk ἐν Τιμ. σλ. 29. καὶ Boeckh ἐν Πιδ. Νμ. 6, 40)· ἡ συνέλευσις αὕτη ἐγίνετο τὴν ἄνοιξιν μὲν εἰς Δελφούς, τὸ φθινόπωρον δὲ εἰς τὴν Δηλίην, καὶ ὡρίσθη ὑπὸ τοῦ Ἀμφικτύονος, ἢ κατ' ἄλλους ὑπὸ τοῦ Ἀκρισίου Βασιλέως τοῦ Ἄργους· ὄρα Ἡρόδ. Ζ'. καὶ Στράβ. Θ'. 2) οἱ πρόεδροι ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσιν· ἀφ' οὗ.

Ἀμφικτυονεύω· εἰμὶ τῶν ἀπεσταλμένων ἐν τῇ Ἀμφικτυονίᾳ συνόδῳ.

Ἀμφικτυονὶα, ας, ἡ· ἡ Ἀμφικτυονία συμμαχία: ἡ συνέλευσις αὐτῆς Στράβ. Β'. σελ. 574.

Ἀμφικτυόνειος, ὁ, ἡ· εἰς τοὺς Ἀμφικτύονας ἀνήκων. Δημοσθ. «ἀμφικτυόνειος χώρα», καὶ «ἀμφικτυόνειος μάχη».

Ἀμφικτυονικὸς, κὴ, κὸν· = Ἀμφικτύονιος. Δημοσθ. «ἀμφικτυονικὸς πόλεμος»· τὸ Ἀμφικτυονικὸν, σύνταγμά τι ἀνδρῶν ἐκλεκτῶν τὰ ἱερὰ Εὐστάθ.

Ἀμφικτυονὶς, ὅος, ἡ· ὑπακουσ. πόλις, κοινωνὸς τῆς Ἀμφικτυονίας συμμαχίας· καὶ «ἀμφικτυονὶδος Δήμητρος ἱερόν»· τῆς τιμωμένης παρὰ τῶν Ἀμφικτυόνων.

Ἀμφικυκάω. Μλ. ήσω (κυκάω) ἀναπαστόνω.

Ἀμφικυλίω. Μ. ίσω. (κυλίω)· περιστρέφω περικυλίω. Πλάτ. Νόμ. Η'. 40. «ἀμφικυλίσαις φασγάνῳ» (τὸ ἐστὶν εἰς πάντας τοὺς χρόνους μακρὸν, ὅθεν καὶ τὸ γράφειν ἀμφεκύλισσε, ἀντὶ ἀμφεκύλισε, ψευδές).

Ἀμφικύπελλος, ου, τὸ· (κύπελλον) παρ' Ὁμ. παντοχοῦ ἐπίθετον τοῦ, δέπας. Ἰλ. Α'. 584. «δέπας ἀμφικύπελλον»· κατὰ τὸν Ἡσύχ. ποτήριόν τι περιφερές· κατὰ δὲ τὸν Σχολ. τὸ ἀμφοτέρωθεν κοῖλον καὶ περιφερές. Εὐστάθ. δέ, ὅτι παντοχόθεν, λέγει, ἐπὶ τὰ ἔσω κεκυφός. Παρὰ δὲ Ἀθην. Ἀμφικύπελλα, τὰ ἀμφίκυρτα, ἀπὸ τῶν ὠῶν, διὰ τὸ τοιαῦτα εἶναι τῇ κατασκευῇ· ἢ τὰ περίποτα, ἤγουν τὰ ἑκατέρωθεν εἰς τὸ πίνειν ἐπιτήδεια· συνήθως ὅμως ἄρμην· τὸ ἔχον δύο χερούλια. Παρθένιος δὲ παρ' Εὐστάθ. «διὰ τὸ περικυρτοῦσθαι τὰ ὠτάρια, καὶ σαρκοπλήσια εἶναι πέλλαις συνηγμένας μᾶλλον εἰς τὸ κυφώτερον», φησι. Πιθανώτερον ὅμως τὸ τοῦ Ἀριστοτ. Ζ'. Ἱστ. Θ'. 40. καὶ δὲ δυρίδες καὶ τοῦ μέλιτος καὶ τῶν σχαδόνων, ἀμφίστομοι· περὶ μίαν γὰρ βάσιν δύο θυρίδες εἰσίν, ὥσπερ τῶν ἀμφικυπέλλων, ἡ μὲν, ἐντὸς, ἡ δὲ, ἐκτὸς·» ἐξ ὧν συνάγεται ὅτι τὸ ἀμφικύπελλον ἦτον ἁπλοῦν τι ποτήριον, τοῦ ὁποίου ἡ βάσις ἦτον ἐσχηματισμένη παραπλησίως ὡς τὸ ἄνω αὐτῆς μέρος, τὸ κυρίως κύπελλον· τοῦτέστιν ὁ πάτος ἦτον κοιλωμένος βαθουλὸς καθὼς τὸ ἀπάνω μέρος, ἢ καθ' αὐτὸ κοῦπα· σχεδὸν κατὰ τρόπον ὁποῦ εἶναι κατεσκευασμένον τὸ ἅγιον ποτήριον τῶν ἀχράντων μυστηρίων, μὲ μόνην τὴν διαφορὰν ὅτι ὁ πάτος τοῦ ἀμφικυπέλλου ἦτον τόσον ψηλὸς καὶ βαθουλὸς ὑποκάτω, καθὼς τὸ ἀπάνω μέρος, καὶ ἠμποροῦσε τις νὰ κιρνᾷ καὶ εἰς αὐτὸν χυρίζοντας τὸ ποτήρι καὶ κάμνοντας τὴν κορυφὴν τοῦ πάτου· παραβλ. ἀμφίστομος.

Ἀμφίκυρτος, ὁ, ἡ· καὶ ἀμφίκυρτη· (κυρτὸς) ἑκατέρωθεν κυρτὸς, μηνοειδὴς, ἢ ἀκριβέστερον ὡς ἡ σελήνη (τὸ φεγγάρι) ὅταν εἶναι πανσεληνιασμένη ὑπὲρ τὸ ἥμισυ αὐτῆς· παρόβαλε μηνοειδὴς, καὶ δεχότομος.

Ἀμφιλαβὴς, ἐος, ὁ, (λαβεῖν) παρὰ τοῖς Γραμματικ. μόνον ὡς γλώσσημα (σχόλιον) τοῦ ἀμφιλαφὴς. Παρὰ Διονυσ. Ἁλικ. Ῥητορ. Γ'. κατὰ Σουϊδ· τὸ δύο λαβὰς ἔχον, ἢ τὸ ἐξ ἀμφοτέρων τῶν μερῶν ληφθῆναι δυνάμενον. Ἰδὲ Schaef. mel. σλ. 49.

Ἀμφίλαιος, αἶα, ον· ἀντὶ, Ἀμφαριστερὸς· ἐκ τοῦ Λαιὸς· ἀμφίβ.

Ἀμφίλαλος, ὁ, ἡ· (λαλέω) πολύλαλος, παντοχοῦ φλυαρῶν· «ἀμφιλάλοις χείλεσιν». Ἀριστοφ. Βατρ. 679.

Ἀμφιλαμβάνω. Μ. λήψομαι· (λαμβάνω· ἀνωμλ.) περιλαμβάνω ἑκατέρωθεν, ἢ παντοχόθεν πιάνω· «ἀμφιλαμβάνεται καὶ ἴσχει κραταιῶς». Ἀριστ. Β'.

Ἀμφιλάφεια, ας, ἡ· καὶ Ἀμφιλαφία· περίμετρος, κύκλος, περιοχή. 2) Ἀφθονία, εὐπορία, μέγεθος, πλοῦτος· ἐκ τοῦ

Ἀμφιλαφὴς, ὁ, ἡ· προσπεριβαλλόμενος, ὀλόγυρα τοῦ ἐκτεινόμενος, περιλαμβάνων· πλατὺς, εὐρύχωρος, ἐκτεταμένος, πολλὰ περιέχων· «ἀμφιλ. δύναμις» Πινδ. «ἀμφιλ. βρονταὶ» μεγάλη, πολὺ ἐκτεταμένη δύναμις, πολλαὶ, δεινοὶ βρονταί· «βρονταὶ ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, δέρεος δὲ ἀμφιλαφέος.» Ἡρόδ. 4, 28. Ἐπειρέτως ἐπὶ χωρῶν, πόλεων, πεδιάδων ἐν γένει· ὄζειν ἐπὶ δένδρων τῶν ὁποίων οἱ κλῶνες ἐκτείνονται κύκλῳ παντοχοῦ· νοεῖ δὲ (φοίνικας) πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. Ἡρόδ. 4, 172. καὶ 3, 114. καὶ Πλάτ. Φαίδ. σλ. 230. Β. «ἦτε γὰρ πλάτανος αὕτη, μάλα ἀμφιλαφής τε καὶ ὑψηλή.» Ἐπ' ἀνθρώπου δὲ σπανίως ἔστιν ἐν χρήσει. Ruhnk ἐν Τιμ. σλ. 27. ἐπὶ θηρίων, παρ' Ἡρόδ. 3, 114. «αὐτὴ δὲ χρυσὸν τε φέρει πολλὸν καὶ ἐλέφαντας ἀμφιλαφέας.» Ἐπρ. ἀμφιλαφῶς· (κατὰ τοὺς πάλαι Γραμματικ. παρὰ τὸ λαβεῖν, ἀντὶ τοῦ ἀμφιλαβὴς· κατὰ Ἐμστέρχιον δὲ, παρὰ τὸ λαφύσσω, λαφύσσω).

Ἀμφιλαφία, ἡ· ποιητ. ἀντὶ ἀμφιλάφεια.

Ἀμφιλαχαίνω· (λαχαίνω) περισκάπτω. Od. Ω. 241. «φυτὸν ἀμφελάχαινεν», δηλ. ἔσκαπτεν ὀλόγυρα εἰς τὸ φυτόν. «Περισκάπτει γὰρ τὴν περὶ αὐτὸ γῆν, καὶ κούφη γίνεται πρὸς αὔξησιν τοῦ φυομένου· ὁ Ἀπολ. τὸ παρ' ἡμῖν ξυλακίζω.

Ἀμφιλέγω. Μ. ἐξω· (λέγω) ὁμιλῶ ὀλόγυρα πρὸς ὅλα ἢ καὶ πρὸς τὰ δύο μέρη· ὅ ἐστιν, ἐρίζω, φιλονεικῶ, ἀμφισβητῶ. Ξενοφ. Ἀναβ. Β'. «ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶνδε στρα-

τωτεῖν, καὶ τοῦ Πλουτάρχου. 3) Ἀμφιβάλλω, Ξενοφ. Ἀπολ. Ιθ'. ὀβρυνταὶς ἀμφιλάξετε, ἢ μὴ φωνεῖν, ἢ μὴ μέγιστον οἰωνιστήριον εἶναι. 4) ἀμφοῦμαι.

Ἀμφιλείπω, (λείπω) καταλείπω, ἀφίνω ὁλόγυρα, ἀπὸ ὅλα τὰ μέρη.

Ἀμφίλεκτος, ου, ὁ, ἡ· (ἀμφιλέγω) ἀμφισβητήσιμος. Εὐριπ. Φοίν. 503. πάμφιλεκτος ἔριδι· ἔτι δὲ καὶ ἐφγτ. φιλόνεικος, ἐριστής. Αἰσχύλ. Ἀγαμ. 895. πάμφιλ. πήματα· καὶ στίχ. 1596. πεφάτεσ' ἀμφίλεκτος· ὁ ἐρίζων, φιλονεικῶν διὰ τὸ κράτος, ἤτοι μὴ συμφωνῶν μὲ τοὺς ἄλλους. 2) ἀμφίβολος, ἀβέβαιος. Ἐπῤῥ. ἀμφιλέκτως.

Ἀμφιλινος. Ζήτ. Κρυπτολ.

Ἀμφιλογέω· ῶ· (ἀμφίλογος) κατὰ μέσ. διάθεσ. μᾶλλον ἐν χρήσει· ἀμφιλογέομαι. Μέσ. ἐρίζω, φιλονεικῶ περί τινος. Πλ. Δυσ. 22. = ἀμφιλέγω.

